*Quæris equi, Nestor, modò quos adduximus isti Vnde adsint? Thraces bello adduxêre feroce. Rex quorũ, & bis sex, fortißima corpora iuxtà Tydidæ manibus socij cecidêre perẽpti.* Huius enim modi cõceßio qua amicis laudẽ deferimus, nõ minus laudantẽ exornat, quàm laudatũ. Quãdo se ipsum dũtaxat probare, vitiũ est, vt ait Plato, solitudini habitandæ cõueniẽs. Præterea verò honestorũ humaniterq; à nobis exhibitorũ officiorũ pars amicis est adscribẽda, & quibus benè factum est, ij iubendi amicos nostros laudare atq; diligere; vt qui causam ac consiliũ nostro offi-

cio

συνήθης ἐζηλεῖτό τινα τῶν
κρινομένων ὑπ' αὐτοῦ
ταμιευόμενος, αἰσχρόν
ἔφη, σὲ τὸν ὀφείλοντα τοὺς
νέους ἡμᾶς σωφρονίζειν,
ὑπὸ τῶν ἡμετέρων ὑπη-
ρετῶν ἐκβάλλεσθαι. τῷ
γὰρ ἔργῳ τὴν χάριν ἐξῆν
ἀπειπάμενον, ἀφελεῖν
τοῦ λόγου τὴν τραχύτητα
πικρίαν, ὡς μὴ δὲ τῇ
πράξει τὸ λυπηρὸν ἑκου-
σίως, ἀλλ' ἀνγκαίως ἐπι-
φέροντα διὰ τὸν νόμον
καὶ τὸ δίκαιον. εἰσὶ δὲ
καὶ πρὸς χρηματισμὸν
οὐκ ἀγεννεῖς ἐν πολι-
τείᾳ τοῖς δεομένοις τῶν φί-
λων αἱ συλλήψεις, οἷον
ὁ Θεμιστοκλῆς μετὰ τὴν
μάχην ἰδὼν νεκρὸν στρε-
πτὰ χρυσᾶ καὶ μανιά-
κην περικείμενον, αὐτὸς
μὲν παρῆλθεν, ἐπιστρα-
φεὶς δὲ πρὸς τὸν φίλον.
ἀνελοῦ ταῦτα εἶπεν, οὐ
γὰρ

*cio in ipsos conferendo
præbuerint. Quæ verò
amicorum sunt ineptæ
& absurdæ petitiones,
eæ non acerbè, sed mā-
suetè sunt reyciendæ,
dehortandiq; sunt &
ostenden iū istas Vir-
tute existimationeq;
ipsorū nō esse dngnas.
Optimè omniū homi-
num Epaminōdas, qui
cùm Cauponē è carcere
ad deprecationē Pelo-
pidæ dimittere abnuis-
set paulò pòst eundem
amasia, precibus inter-
cedēte missū fecit: hu-
iusmodi, inquiēs, bene
ficia accipere meretri-
culas par est, non præ-
tores. Morosè Cato &
insolēter, qui cum Ca-
tulus cēsor sūmus eius
amicus & familiaris
deprecaretur pro quo-
dam*

γὰρ καὶ σὺ Θεμιστοκλῆς γέγονας. δίδωσι, γὰρ καὶ τοῦτο πολλάκις τῷ πολιτικῷ τὰ πράγματα πρὸς τοὺς φίλους, οὐ γὰρ δὴ ' μενέμαχοι πάντες εἰσὶ, τῷ μὲν ἐγχείρισον συνηγορίαν ἔμμισθον ὑπὲρ τοῦ δικαίου, τῷ δὲ σύστησον πλούσιον ἐπιμελείας καὶ προστασίας δεόμενον, ἄλλῳ δὲ εἰς ἐργολαβίαν τινὰ σύμπραξον, ἢ μίσθωσιν ὠφελείας ἔχουσαν. ἐπαμινώνδας δὲ καὶ πλουσίῳ τινὶ προσελθόντα φίλον, αἰτεῖν ἐκέλευσεν ἓν τάλαντον, ὡς αὐτοῦ δοῦναι κελεύσαντος. ἐπεὶ δὲ ὁ αἰτηθεὶς ἐλθὼν ἐπυνθάνετο τὴν αἰτίαν. ὅτι χρηστὸς εἶπεν οὗτος ὢν, πένης ἐστί. σὺ δὲ πλουτεῖς πολλὰ τῆς πόλεως νενοσφισμένος. δὲ τὸν ἀγη-

σί

dam, qui ab ipso tum quæsturã gerente iudicabatur. Turpe, ait, est te qui nobis adolescẽtes debes benè moratos reddere, à meis eijci famulis. Licebat enim re ipsa officium hoc denegantem, asperam dicti acerbitatẽ prætermittere: vt videretur facti quoq; amico molesti causa, nõ voluntas ipsius, sed legũ & iustitiæ necessitas fuisset. Sunt & ad adiuuãdos in paranda pecunia amicos in administratione Rei pub. rationes nequaquã illiberales. Vt Themistocles cum à pugna videret cadauer aureis torquibus & monili insigne, præterijt ipse, & ad amicum conuersus; aufer, inquit, hæc:

σίλαον ὁ ξενοφῶν, ἀγάλλεσθαί φησι πλουτίζοντα τοὺς φίλους αὐτὸν ὄντα κρείττονα χρημάτων.

*nō enī tu quoq; es Themistocles. Talia amicis præstandi res ipsæ versanti in Repub. sæpenumerò occasionem præbent. Non enim omnes sunt Menemachi: proinde huic patrociniũ iustæ causæ cum præmio coniunctum demanda, alteri diuitē cōmenda procuratione & defensione indigentē, alium in conductione aliqua quæstuosa adiuua. Epaminondas quidem amico cuidā suo mandauit, vt diuitem quempiā accederet, & ab eo talentũ posceret, ita se imperasse dicens. Cumq; diues accesßisset causam sciscitans: quia, inquit, hic vir bonus eget, tu diues es, qui multa ciuitatis bona in rem tuam vertisti. Et Agesilaũ Xenophon scribit lætatũ fuisse quoties amicũ ditaret, cum quidem ipse diuitias despiceret.*

## PRAECEPTVM VII.

*DE INIMICITIIS, quæ in Reipub. administratione expectandæ 1. Interim, aut Themistoclis & Aristidis exemplo, publicis in officijs deponendis; 2. Aut, quod Cratinas & Hermeias fecerunt potius quàm hæc patriæ noceant ex hac ipsa discedendum. 3. Aut Phocionis & Catonis imitatione, publica pro vtilitate acriter decertandũ, priuatis in rebus amicè pacatèq; viuendum. 4. Cogitandum quoq;, ciuem nullũ, nisi Reipub: pernitiosum, odio habendum. 5. Cum alijs placidè,*

atq;

atq; ita agendum, vt, laude digna, cōmendentur ac prædicentur: etiam defensiones & patrocinia instituantur, si fortè aliorū petiti calumnijs fuerint. 6. Vitiorum adhibendæ obiurgationes cautè; exemplis inimicorum allatis: parentum mentione iniecta: laudationi immixta reprehensione. 7. conuicia vitanda & dicteria, quæ, cùm priuatim, tùm publicè nocent: consultationes ac negotia publica turbant. 8. Aut si necessariò maledicentibus respondendū, faciendum hoc breuiter, atq; ita, ne iræ aliqua suspicio oriatur. 9. Quam ad rem dictorū maximè retorsiones prosunt: quibus, præ reliquis artificiosè sunt vsi: Epaminondas, Antalcidas, Phocio, Crassus.

Ἐπεὶ δὲ πάσαις κορυδαλίσι κατὰ Σιμωνίδην χρὴ λόφον ἐγγενέσθαι, καὶ πᾶσα πολιτεία φέρει τινὰς ἔχθρας καὶ διαφορὰς, οὐχ ἥκιστα προσήκει καὶ περὶ τούτων ἐσκέφθαι τὸν πολιτικόν. Οἱ μὲν οὖν πολλοὶ τὸν Θεμιστοκλέα καὶ τὸν Ἀριστείδην ἐπαινοῦσιν, ἐπὶ τῶν ὅρων τὴν ἔχθραν ἀποτιθεμένους, ὁσάκις ἐπὶ πρεσβείαν ἢ στρατηγίαν ἐξίοιεν. εἶτα πάλιν ἀναλαμβάνοντας. ἐνίοις δὲ καὶ τὸ Κρητίνου τοῦ Μάγνητος ὑπερφυῶς ἀρέσκει. ἐρ-

Cæterū quoniā omnibus, vt ait Simonides, caßitis necesse est cristam innasci, itaq; nulla Reipub: administratio non fert inimicitias aliquas & dißensiones: nō minimū refert etiā hanc rem præmeditatū esse eum qui in Repub. gerenda versari instituit. 1. Laudant pleriq; Themistoclem & Aristidē, qui quoties ad obeundam legationē, aut ducēdū exercitū proficiscerentur, inimicitiā in fini-

μεία γὰρ ἀντιπολιτευό-
μενος ἀνδρὶ οὐ δυνατῷ,
φιλοτίμῳ δὲ καὶ λαμ-
πρῷ τὴν ψυχὴν, ἐπεὶ
κατέσχεν ὁ μιθριδατι-
κὸς πόλεμος τὴν πόλιν
ὁρῶν κινδυνεύουσαν, ἐκέ-
λευσε τὸν ἑρμείαν τὴν
ἀρχὴν παραλαβόντα,
χρῆσθαι τοῖς πράγμα-
σιν αὐτοῦ μεταστάντος.
Εἰ δὲ βούλεται στρατηγεῖν
ἐκεῖνον, αὐτὸν ἐκποδὼν
ἀπελθεῖν, μὴ φιλο-
τιμούμενοι πρὸς ἀλλή-
λους, ἀπολέσειαν τὴν
πόλιν. ἤρεσεν ἡ πρόκλη-
σις τῷ ἑρμείᾳ, καὶ φή-
σας ἑαυτοῦ πολεμικώ-
τερον εἶναι τὸν κρητίναν,
ὑπεξῆλθε μετὰ παίδων καὶ
γυναικός. ὁ δὲ κρητί-
νας ἐκεῖνόν τε προὔπεμ-
ψε, τῶν ἰδίων χρημάτων
ἐπιδοὺς, ὅσα φεύγουσιν
ἦν ἢ πολιορκουμένοις
χρησι-

*bus patriæ deposuerũt,
reuersiq́; domum eam
resumpserunt. 2. Non-
nullis factum Cra-
tinæ Magnetis maio-
rem in modum placet.
Is, cum in Reipub. tra-
ctatione aduersaretur
Hermeiæ, viro nõ po-
tenti quidẽ, sed hono-
rum tamen percupido,
animiq́; elati, cernens
sub initiũ belli Mithri-
datici ciuitatem in di-
scrimine versari, op-
tionem hanc Hermeiæ
detulit; vt vel is, se in
exilium profecto vrbẽ
gubernaret, vel (si ita
videretur) ipse solum
vertens sibi imperium
relinqueret: ne sua cõ-
tentione ciuitatẽ pes-
sundarent. Placuit ob-
lata cõditio Hermeiæ,
fassusq́; bello gerendo
præ-*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-147150-p0088-7

χρησιμώτερα, καὶ τὴν πόλιν ἄριστα στρατηγήσας παρ' οὐδὲν ἐλθοῦσαν ἀπολέσθαι περιεποίησεν ἀνελπίστως. Εἰ γὰρ εὐγενὲς καὶ φρονήματος μεγάλου τὸ ἀναφωνῆσαι, φιλῶ τέκν', ἀλλὰ πατρίδ' ἐμὴν μᾶλλον φιλῶ, πῶς οὐκ ἐκείνοις προχειρότερον εἰπεῖν ἑκάστῳ μισῶ τὸν δεῖνα καὶ βούλομαι ποιῆσαι κακῶς, ἀλλὰ πατρίδα ἐμὴν μᾶλλον φιλῶ. Τῷ γὰρ μὴ θέλειν διαλυθῆναι πρὸς ἐχθρὸν, ὧν ἕνεκα δεῖ φίλον προέσθαι, δεινῶς ἄγριον καὶ θηριῶδες. οὐ μὴν ἀλλὰ βέλτιον οἱ περὶ Φώκιωνα καὶ Κάτωνα μὴ δὲ ὅλως ἔχθραν τινὰ πρὸς πολιτικὰς τιθέμενοι διαφοράς. ἀλλὰ δεινοὶ καὶ ἀπαραίτητοι μόνον ἐν

*præstare sibi Cratinã, cum liberis & uxore urbe excessit: & Cratinas, cum eum deduxit, de suo largitus, quæ exulãtibus essent, quàm obsessis cõmodiora, tum, re optimè gesta, urbẽ cõtra omniũ spem à præsente exitio conseruauit. Si enĩ nobilis est magniq; animi vox ista: liberos amo meos, sed patriam magis meam: Cur nõ cuiuis prõptius sit dicere; odi hunc, & cupio lædere, sed maiore patriæ amore detineor? Nolle enim cum inimico in gratiã redire eam ob causã, ob quam, vel amicus sit dimittẽdus, nimis quàm immane est & efferati animi. Veruntamen rectius*

τοῖς δημοσίοις ἀγῶσιν ὄντες μὴ προέσθαι τὸ συμφέρον. ἐν δὲ τοῖς ἰδίοις ἀμηνίτως καὶ φιλανθρώπως χρώμενοι τοῖς ἐκεῖ διαφερομένοις. δεῖ γὰρ ἐχθρὸν μηδένα νομίζειν πολίτην, ἂν μή τις οἷος ἀριςίων, ἢ νάβις, ἢ κατιλίνας, νόσημα καὶ ἀπόςημα πόλεως ἐγγένηται, τοὺς δὲ ἄλλως ἀπᾴδοντας, ὥσπερ ἁρμονικὸν ἐπιτείνοντα, καὶ χαλῶντα πράως εἰς τὸ ἐμμελὲς ἄγειν, μὴ τοῖς ἁμαρτάνουσι σὺν ὀργῇ καὶ πρὸς ὕβριν ἐπιφυόμενον. ἀλλ᾽ ὡς ὅμηρος ἠθικώτερον. ὦ πέπον ἦ τ᾽ ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων, καὶ οἶδα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι. ἄν τε τι χρηστὸν

εἴπω-

Phocio & Cato, qui nullas prorsus inimicitias cum Reipub. administratione priuatĩ cõiũxerũt: sed cùm in publicis certaminibus pro utilitate Reipub. acres se & propositi tenacissimos gererẽt, in rebus priuatis pacatè & humaniter ijs usi sunt, qui in publica dissentirẽt. 4. Nullus enĩ Ciuis pro inimico habẽdus est: nisi quis est, Aristionis instar, aut Nabidis, aut Catilinæ, morbus & vomica veluti Reipub. 5. Qui verò aliàs discrepant, eos instar musici debet Reipublicæ moderator vel relaxando placidè, vel intẽdẽdo ad cõcentum reducere: neq; peccãtes iracũdè, aut contume-

liose

εἴπωσιν ἢ πράξωσι, μὴ
τιμαῖς ἀχθόμενον αὐ-
τῶν, μηδὲ λόγων εὐφή-
μων ἐπὶ καλοῖς φειδό-
μενον. οὕτω γὰρ ὅτε ψό-
γος ὅπου δεῖ πίστιν ἕξει,
καὶ πρὸς τὴν κακίαν διαβαλοῦμεν αὐτοὺς, αὔξον-
τες τὴν ἀρετὴν, καὶ ταῦτα
παραβάλλοντες ἐκεί-
νοις, ὡς ἄξια καὶ πρέπον-
τα μᾶλλον. ἐγὼ δὲ καὶ
μαρτυρεῖν ἀξιῶ τὰ δί-
καια τοῖς διαφόροις
τὸν πολιτικὸν ἄνδρα, καὶ
βοηθεῖν κρινομένοις πρὸς
τοὺς συκοφάντας καὶ ταῖς
διαβολαῖς ἀπιστεῖν, ἂν
ὦσιν ἀλλότριαι τῆς προ-
αιρέσεως αὐτῶν, ὥσπερ ὁ
Νέρων ἐκεῖνος ὀλίγον
ἔμπροσθεν ἢ κτεῖναι τὸν
Θρασέαν μάλιστα μισῶν
καὶ φοβούμενος. ὅμως
ἐγκαλοῦντός τινος ὡς
κακῶς κεκριμένου καὶ
ἀδί-

*liosè incessere, sed pla-
cidè obiurgare. Cuius
generis sunt Homerica
ista. Nugator, te plus
alijs ego mente valere
Crediderã. Et Rectius
his aliquid poteras de
prõere verbis. Rursũq́;
vbi rectè aliquid dixe-
rĩt, aut fecerĩt, neq; hõo
ri eorũ inuidere, neq;
faustis acclamationib9
parcere. Ita fiet, vt et re
præhẽsioni sua sit in lo-
co autoritas, & à vitio
eos auertamus. Virtutẽ
augendo, & probè fa-
cta ac dicta, tanquam
ipsis digniora, delictis
comparãdo. Ego verò
versantẽ in Repub. Vi-
rũ & inimicis iusta in
causa testimoniũ per-
hibere iubeo: & in iu-
dicio eos contra calum-
niatorẽ tueri, alienisq́;*

ἀδίκως, ἐβουλόμην ἂν ἔφη θρασέαν οὕτως ἐμὲ φιλεῖν, ὡς δικαστὴς ἄριστός ἐστιν. Οὐ χεῖρον δὲ καὶ πρὸς ἐπίπληξιν ἑτέρων φύσει πονηρῶν μᾶλλον ἁμαρτανόντων, ἐχθροῦ μνησθέντα κομψοτέρου τὸ ἦθος εἰπεῖν. ἀλλ' ἐκεῖνος οὐκ ἂν τοῦτο εἶπεν οὐδ' ἐποίησεν. ὑπομνηστέον δὲ καὶ πατέρων ἀγαθῶν ἐνίους ὅταν ἐξαμαρτάνωσιν. ὅμηρος. ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο τυδεὺς, καὶ πρὸς σκιπίωνα τὸν ἀφρικανὸν ἄππιος ἐν ἀρχαιρεσίαις διαγωνιζόμενος, ἡλίκον ἂν εἶπεν ὦ παῦλε στενάξειας ὑπὸ γῆς αἰσθόμενος, ὅτι σοῦ τὸν υἱὸν ἐπὶ τιμητικὴν ἀρχὴν ἐξαβαίνοντα φιλόνεικος ὁ τελώνης δορυφορεῖ. Τὰ γὰρ τοι-

ab eorũ animi inſtituto criminibus fidẽ denegare. Quemadmodũ Nero ille, paulò antè, quàm Thraſeã interficeret, quem maximè oderat ac metuebat, quodã conquerẽte iniquã in ſua cauſa à Thraſea latã fuiſſe ſentẽtiam: vtinã verò, inquit ita me amaret Thraſea, vt optimus eſt iudex. Nõ abs re eſt etiã, obiurgandi cauſa eos, qui vitio quodã naturæ ad peccandum ſunt procliuiores, proferre inimicũ eorum melioribus præditũ moribus ac dicere: atqui hic nõ erat ita locuturus ſiue acturus. Nõnullis peccãtibus parentũ præclarorum eſt obijciẽda mentio. Sic apud Homerũ:

τοιαῦτα νουθετεῖ τοὺς ἁμαρτάνοντας ἅμα καὶ κοσμεῖ τοὺς νουθετοῦντας. πολιτικῶς δὲ ὁ νέστωρ ὁ τοῦ Σοφοκλέους ἀποκρίνεται λοιδορούμενος ὑπὸ τοῦ αἴαντος. Οὐ μέμφομαί σε, δρῶν γὰρ εὖ κακῶς λέγεις. καὶ κάτων διενεχθεὶς πρὸς τὸν πομπήιον, ἐν οἷς ἐβιάζετο τὴν πόλιν μετὰ καίσαρος, ἐπεὶ κατέστησαν εἰς πόλεμον, ἐκέλευσε πομπηίῳ παραδοῦναι τὴν ἡγεμονίαν, ἐπειπὼν, ὅτι τῶν αὐτῶν ἐστὶ καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. ὁ γὰρ μεμιγμένος ἐπαίνῳ ψόγος οὐκ ἔχων ὕβριν ἀλλὰ παρρησίαν, οὐδὲ θυμὸν, ἀλλὰ δηγμὸν ἐμποιῶν καὶ μετάνοιαν, εὐμενὴς φαίνεται καὶ θεραπευτικὸς, αἱ δὲ λοιδορίαι τοῖς πο-

*merum: Haud similē natū tibi Tyden magne dedisti. Et Appius in Comitijs cum Africano Scipione contendēs; quàm, inquit, ingemisceres, Paule apud manes; si sentires filiū tuum, censuræ petēdæ gratia, in cāpū descendentē à Philonico publicano stipari. Huiusmodi enī dicta & pccantes emēdāt, & correctores decent. Ciuiliter etiā Nestor apud Sophoclem respondet cōuiciāti Aiaci: nō culpo te: bene enim meritus, dicis malè. Et Cato cum Pōpeio restitisset, Cæsari in. Reipub. facienda socium se præbenti, exorto inter hos bello, Pōpeiū summæ rerum iußit præfici, eius*

πολιτικοῖς ἥκιστα πρέπουσιν. ὅρα δὲ τὰ πρὸς αἰσχίνην ὑπὸ δημοσθένους εἰρημένα, καὶ τὰ πρὸς τοῦτον ὑπ' αἰσχίνου, καὶ πάλιν ἃ πρὸς δημάδην γέγραφεν ὑπερίδης. εἰ σόλων ἂν εἶπεν ἢ περικλῆς ἢ λυκοῦργος ὁ λακεδαιμόνιος ἢ πιττακὸς ὁ λέσβιος. καίτοι γε καὶ δημοσθένης ἐν τῷ δικανικῷ τὸ λοίδορον ἔχει μόνῳ. οἱ φιλιππικοὶ καθαρεύουσι καὶ σκώμματος καὶ βωμολοχίας ἁπάσης. τὰ γὰρ τοιαῦτα τῶν ἀκουόντων μᾶλλον αἰσχύνει τοὺς λέγοντας. ἔτι δὲ σύγχυσιν ἀπεργάζεται τῶν πραγμάτων καὶ διαταράττει τὰ βουλευτήρια καὶ τὰς ἐκκλησίας. ὅθεν ἄριστα ὁ φωκίων ὑποστὰς τῷ λοιδοροῦντι καὶ

παυ.

*ci, eiusdẽ esse, inquiẽs magna mala ciere & amoliri. Permixta enĩ laudationi repræhẽsio, non contumeliam, sed libertatem in se habẽs: neq; iram, sed morsũ & pænitẽtiã excitans, benigna uidetur & ad corrigendum apta. 7. Conuitia ciuiles minimè decẽt. Tuum enim facto iudiciũ, an, quæ Aeschines & Demosthenes alter in alterũ scripserunt, autq;, aduersus Demadẽ Hyperides: Solon, aut Pericles, aut Lycurgus Spartanus, aut Pittacus Lesbius fuißet vsurpaturi. Quanquam Demosthenes in iuridiciali tantùm oratione vsus est maledictis: Philippicæ, omnis & dicacitatis.*

tatis.

παυσάμενος τοῦ λέγειν, ἐπεὶ μόλις ἐσιώπησεν ὁ ἄνθρωπος, αὖθις παρελθὼν, οὐκοῦν ἔφη περὶ μὲν τῶν ἱππέων καὶ τῶν ὁπλιτῶν, ἀκηκόατε. λείπεται δέ μοι περὶ τῶν ψιλῶν καὶ πελταστῶν διελθεῖν. ἀλλ' ἐπεὶ πολλοῖς δυσκάθεκτόν ἐστι τὸ πρᾶγμα, καὶ πολλάκις οὐκ ἀχρήστως οἱ λοιδοροῦντες ἐπιστομίζονται ταῖς ἀπαντήσεσιν, ἔστω βραχεῖα τῇ λέξει καὶ μὴ θυμὸν ἐμφαίνουσα μηδὲ ἀκροχολίαν, ἀλλὰ πραότητα μετὰ παιδιᾶς καὶ χάριτος ἀμωσγέπως δάκνουσαν αἱ δὲ ἀντεπιστρέφουσαι μάλιστα τοιαῦται, καθάπερ γὰρ τῶν βελῶν ὅσα πρὸς τὸν βαλόντα φέρεται πάλιν, ῥώμῃ τινὶ δοκεῖ καὶ στερεότητι τοῦ πληγέντος ἀνα-

*tatis & scurrilitatis sunt pura. Nã id quidẽ genus dicteria dicẽtibus quám in quos dicuntur, plus afferunt dedecoris: ac præterea confusionem secũ trahunt negotiorũ cõturbantq; deliberationes & conciones. Optimè itaq; Phocio, qui, cum cessisset conuitianti ac dicere destitisset, postquã ille tandẽ conticuit, rursum in concionẽ progressus: ergo, inquit, de equitibus & grauis armaturæ militibus audiuistis: reliquum mihi est de leuis armaturæ militibus & cetratis disserere. 9. Verùm, quia plerique in hoc negotio continere se non possunt, ac sæpenumerò non inutiliter male-*

ἀνακρουόμενα τοῦτο πάσχειν, οὕτω τὸ λεχθὲν ὑπὸ ῥώμης καὶ συνέσεως τοῦ λοιδορηθέντος ἐπὶ τοὺς λοιδορήσαντας ἀναστρέφειν ἔοικεν, ὡς τὸ ἐπαμινώνδου πρὸς καλλίστρατον ὀνειδίζοντα θηβαίοις καὶ ἀργείοις τὴν οἰδίποδος πατροκτονίαν, καὶ τὴν ὀρέστου μητροκτονίαν, ὅτι τοὺς ταῦτα ποιήσαντας ἡμῶν ἐκβαλόντων, ὑμεῖς ἐδέξασθε. καὶ τὸ ἀντακλείδου τοῦ σπαρτιάτου πρὸς τὸν ἀθηναῖον τὸν φήσαντα, πολλάκις ὑμᾶς ἀπὸ τοῦ κηφισοῦ ἐδιώξαμεν, ἀλλ' ἡμεῖς γε ὑμᾶς ἀπὸ τοῦ εὐρώτα οὐδέ ποτε. χαριέντως δὲ καὶ ὁ φωκίων τοῦ δήμου κεκραγότος ἀθηναῖοι σε ἀποκτενοῦσιν, ἄν γε μανῶσι, ἔφη σὲ δὲ ἄν σωφρονῶσι. καὶ κράσ-

σος

maledicētium ora responsis obturantur: esto responsio breuis, neq; iram præ se aut stomachum ferat: sed mansuetudinē cum ioco & gratia, tamen vtrūq; mordentē. 9. Quales maximè sunt quæ dictū retorquent. Sicut enim tela in eum, qui misit, redeuntia, vi quadam & soliditate ijs impetiti retrò auerti videntur: ita maledictum robore & calliditate eius, in quem iactū fuit, in authorē reuerti apparet. Quale est, quod Epaminōdas Callistrato exprobrāti Thebanis Oedipi qui patrem, & Argiuis Orestis, qui matrē interfecit, facinora, respondit: atqui vos

hos

σος ὁ ῥήτωρ δομιτίου πρὸς αὐτὸν εἰπόντος, οὐ σὺ μυραίνης ἐν κολυμβήθρᾳ σοι τρεφομένης εἶτα ἀποθανούσης ἔκλαυσας; ἀντηρώτησεν, οὐ σὺ τρεῖς γυναῖκας θάψας οὐκ ἐδάκρυσας; ταῦτα μὲν οὖν ἔχει χρείαν τινὰ καὶ πρὸς τὸν ἄλλον βίον.

*hos ipsos à nobis eiectos recepistis. Et Antalcidæ Spartani ad Atheniensem dicentem; vos sæpè à nobis estis â Cephiso in fugam acti, responsum: at vos à nobis nunquam estis ab Eurota fugati. Eleganter etiam Phocio, Demade vociferante, Athenienses te interficient, vbi ceperint insanire: te verò, ait, vbi sapere ceperint. Et Crassus Orator Domitio obÿcienti; nonnè tu mortuam murænã, quam alueras in piscina, defleuisti? reddidit: nonnè tu nullam lacbrymam triũ vxorum sepulturæ impẽdisti? atq; hæc quidem etiam in reliqua vita suam habent vtilitatem.*

## PRÆCEPTVM VIII.

DE PVBLICIS MVNERIBVS OBEVNDIS. 1. *Qua in re alÿ, Catonis & Epaminondæ exemplo, nullam publicẽ officÿ partem negligendam esse censent, etiamsi parùm illa honorifica extiterit. 2. Alÿ Periclem imitãtur, qui non nisi ad maximas adhiberi actiones voluit. 3. Non φιλοτιμία καὶ φιλονεικία, gloriæ ac contentionis studium nimiũ probatur: quale in Theagine fuit. 4. Cauendum, ne, omnibus promiscuè*

civilibus

*ciuilibus muneribus susceptis ac tractatis, reprehensiones, inuidia, contemptus, risus, ludibriũ subsequantur: quod Metiocho accidit. 5. Sed ad ea fiat aditus, populi amore; quod Scipio Affricanus fecit: neglexit, Timesias ClaZomenius. 6. Nulla interim Reipub. pars delata deseratur. 7. Quædam tamen à politico ipso peragatur, alia alijs committatur: quod Pericles Athenis obseruauit. 8. Vtile quoq; cumprimis est, tùm ad inuidiam declinandam, tùm melius ac rectius negotia conficienda. 9. Quemadmodùm contrà ambitiosi cum omnia ipsi agere volũt, imperitè interim agunt, ridentur, non excusantur: Cleo, Philopœmen, Annibal, Iphicrates.*

Πολιτείας δὲ οἱ μὲν εἰς ἅπαν ἐνδύονται μέρος, ὥσπερ ὁ Κάτων, οὐδεμιᾶς ἀξιοῦντες εἰς δύναμιν ἀπολείπεσθαι φροντίδος οὐδ᾽ ἐπιμελείας τὸν ἀγαθὸν πολίτην. καὶ Ἐπαμινώνδαν ἐπαινοῦσιν, ὅτι φθόνῳ καὶ πρὸς ὕβριν ἀποδειχθεὶς τελέαρχος ὑπὸ τῶν Θηβαίων, οὐκ ἠμέλησεν. ἀλλ᾽ εἰπὼν ὡς οὐ μόνον ἀρχὴ ἄνδρα δείκνυσιν, ἀλλὰ καὶ ἀρχὴν ἀνήρ, εἰς μέγα καὶ σεμνὸν ἀξίωμα προήγαγε τὴν τελεαρχίαν, οὐδὲν οὖσαν

πρὸ

*Sunt porrò qui nullã non partẽ publici muneris subeũt; ut Cato, existimantes bono ciui nullam curam aut industriam omittendam quæ ad potentiã conciliandã cõducat. Laudantq; hi Epaminõdã, quòd, cum eum Thebani, inuidia ducti, & cõtumeliæ faciẽdæ causa, Telearchã disignassent, non detractauit: sed fatus: nõ modò magistratu Virũ, sed etiã Viro magistratũ, qualis sit demõstrari, Te-*

*learchi*

πρότερον. ἀλλ' ἡ περὶ τοὺς στενωποὺς ἐκβολῆς κοπρίων καὶ ῥευμάτων ἀποτροπῆς ἐπιμέλειάν τινα. κἀγὼ δὲ ἀμέλει παρέχω γέλωτα τοῖς παρεπιδημοῦσιν ὁρώμενος ἐν δημοσίῳ περὶ τὰ τοιαῦτα πολλάκις. ἀλλὰ βοηθεῖ μοι τὸ τοῦ ἀντισθένους μνημονευόμενον. θαυμάσαντος γάρ τινος εἰ δι' ἀγορᾶς αὐτὸς φέρει τάριχον, ἐμαυτῷ γε εἶπεν. ἐγὼ δὲ ἀνάπαλιν πρὸς τοὺς ἐγκαλοῦντας εἰ κεράμῳ παρέστηκα διαμετρουμένῳ, καὶ φυράμασι καὶ λίθοις παρακομιζομένοις, οὐκ ἐμαυτῷ γε φημὶ ταῦτα οἰκοδομεῖν, ἀλλὰ τῇ πατρίδι. εἰς γὰρ ἄλλα μικρὸς ἄν τις εἴη καὶ γλίσχρος αὐτῷ διοικῶν, καὶ

δι

*learchiam ad magnā dignitatē ac maiestatē euexit: cùm antè is magistratus nō fuisset nisi stercorū ex angiportis eijciūdorū, ac aquarum deriuandarū procuratio quædam. Atq; ipse quoq; nimirū peregrè huc aduenientibus risū moueo, cùm talia videor frequenter in publico tractare. Sed tuctur me Antisthenis ditum memoriæ proditum: qui miranti cuidam, quòd salsamētum per forū gestaret, respondit: mihi quidē ipsi fero. Atq; ego vicissī incusātibus quòd dimensioni testarū adsto, ac cæmēti & lapidum vectura respōderim, non mihi me, sed patriæ istæ administra*

*re, Vt*

δι' αὐτὸν πραγματευόμενος. εἰ δὲ δημοσίᾳ καὶ διὰ τὴν πόλιν οὐκ ἀγεννὴς, ἀλλὰ μεῖζον τὸ μέχρι μικρῶν ἐπιμελὲς καὶ πρόθυμον. ἕτεροι δὲ σεμνότερον οἴονται καὶ μεγαλοπρεπέστερον εἶναι τὸ τοῦ περικλέους, ὧν καὶ κριτόλαός ἐστιν ὁ περιπατητικὸς, ἀξιῶν, ὥσπερ ἡ σαλαμινία ναῦς ἀθήνησι καὶ ἡ πάραλος οὐκ ἐπὶ πᾶν ἔργον ἀλλ' ἐπὶ τὰς ἀναγκαίας καὶ μεγάλας κατεσπῶντο πράξεις, οὕτως ἑαυτῷ πρὸς τὰ κυριώτατα καὶ μέγιστα χρῆσθαι, ὡς ὁ τοῦ κόσμου βασιλεύς. τῶν ἄγαν γὰρ ἅπτεται θεὸς, τὰ μικρὰ δ' εἰς τύχην ἀνεὶς ἐᾷ, κατὰ τὸν εὐριπίδην. Οὐδὲ γὰρ τοῦ θεαγένους τὸ φιλότιμον ἄγαμαι καὶ φι-

re. Vt enim sordidus haberi potest, qui multa id genus sibi ipsi tractat, suiq; causa administrat: ita cum publicè ista, & commodo ciuitatis tractãtur, nequaquã illiberalis est, sed magna etiã ad exigua hæc se demittẽs procuratio & officij promptitudo. 2. Alij Periclis institutum magnificẽtius ac splẽdidius iudicant, in quorũ numero est Critolaus quoq; peripateticus. Volebat enim, quemadmodum Athenis Salaminia nauis & Paralus nõ cuiusuis negocij, sed necessariorũ tantùm ac magnorũ deducerẽtur in mare: ita se quoq; non nisi ad summã rerũ cõtinentes maximisq; adhi-

φιλόνεικον ἐπαινοῦμεν,
ὃς οὐ μόνον τὴν περίοδον
νενικηκὼς, ἀλλὰ καὶ πολ-
λοὺς ἀγῶνας, οὐ παγ-
κρατίῳ μόνον ἀλλὰ καὶ
πυγμῇ καὶ δολιχῷ, τέ-
λος ἡρῷα δειπνῶν ἐπι-
ταφίου τινὸς, ὥσπερ εἰώ-
θει προτεθείσης ἅπασι
τῆς μερίδος ἀναπηδή-
σας, διεπαγκρατίασεν,
ὡς οὐδένα νικᾶν δέον αὐ-
τοῦ παρόντος. ὅθεν ἤθροι-
σε χιλίους καὶ διακοσίους
στεφάνους, ὧν συρφετὸν
ἄν τις, ἡγήσαιτο τοὺς
πλείστους. Οὐδὲν οὖν τούτου
διαφέρουσιν οἱ πρὸς πᾶ-
σαν ἀποδυόμενοι πολιτι-
κὴν πρᾶξιν, ἀλλὰ ποιοῦ-
σιν μεμπτοὺς ἑαυτοὺς τοῖς
πολλοῖς ἐπαχθεῖς τε γί-
νονται καὶ κατορθοῦντες ἐπί-
φθονοι. κἂν σφαλῶ-
σιν ἐπίχαρτοι καὶ τὸ
θαυμαζόμενον αὐτῶν

*adhiberi actiones. Ex-
emplo regis vniuersi,
qui (vt est ab Euripi-
de scriptũ) summa pro-
curat modo* DEVS, *àdq;
fortunã minora reÿcit
3. Neq; enim nimium
honoris ac contendẽdi
studium in Theagene
probamus: qui cum nõ
solùm cõuersionẽ vicis
set, sed & multa certa-
mina alia, nõ tantùm
pancratio, sed & pu-
gillatione, & lõga de-
cursione, ad extremũ
cum funebribus qui-
busdam heroicis ludis
cœnaret, proposita de
more cuiuis portione
prosiluit, ac pancratio
decertauit: perinde ac
si nemini liceret vince
re se præsẽte. Vnde fa-
ctũ est, vt coronas cõ-
gesserit* CIↃ CC. *quarũ*

ἐν ἀρχῇ τῆς ἐπιμελείας εἰς χλευασμὸν ὑπονοςεῖ καὶ γέλωτα. τοιοῦτον μητίοχος μὲν στρατηγεῖ, μητίοχος δὲ τὰς ὁδοὺς, μητίοχος δὲ ἄρτους ἐποπτᾷ, μητίοχος δὲ τὰ ἄλφιτα, μητίοχος δὲ τὰ πάντα κεῖται, μητίοχος δὲ οἰμώξεται. Τῶν περικλέους οὗτος εἷς ἦν ἑταίρων. Τῇ δὲ ἐκεῖνον, ὡς ἔοικε δυνάμει χρώμενος ἐπιφθόνως καὶ κατακόρως. δεῖ δὲ ὥς φασιν ἐρῶντι τῷ δήμῳ τὸν πολιτικὸν προσφέρεσθαι, καὶ μὴ παρόντος ἑαυτοῦ, πόθον ἐναπολείπειν. ὃ καὶ σκιπίων ὁ ἀφρικανὸς ἐποίει, πολὺν χρόνον ἐν ἀγρῷ διαιτώμενος, ἅμα καὶ τοῦ φθόνου τὸ βάρος ἀφαιρῶν, καὶ διδοὺς ἀναπνοὴν τοῖς πιέ-

plerasque pro quisquilijs haberes. 4. Nihil ab hoc diuersum faciunt, qui omnia subeunt ciuilia munera. Nam reprehensionibus multorum sese exponũt, molestique fiunt, & cum bene rem gerunt, inuidia, cum male, gaudio excipiuntur: denique, quæ ab initio admirationi erat eorũ industria, in ludibriũ & risum incidit. Quale est; Metiochus prætor est Metiochus viarum procurator; Metiochus panes, Metiochus farinã distribuit; Metiochus omnibus præest; Metiochus habebit infortunium. Fuit hic vnus de socijs Periclis, & (vt apparet) potentia qua propter hũc erat præditus, odi-

πιέζεσθαι δοκοῦσιν ὑπὸ τῆς ἐκείνου δόξης. Τιμησίας δὲ ὁ Κλαζομένιος. Τὰ μὲν ἄλλα ἦν περὶ τὴν πόλιν ἀνὴρ ἀγαθὸς, τῷ δὲ πάντα πράσσειν δι᾽ ἑαυτοῦ, φθονούμενος ἠγνόει καὶ μισούμενος. ἕως αὐτῷ συνέβη τι τοιοῦτον. ἔτυχον ἐν ὁδῷ παῖδες ἐκ λάκκου τινὸς ἀστράγαλον ἐκκόπτοντες, ἐκείνου παρόντος, ὧν οἱ μὲν ἔφασκον μένειν, ὁ δὲ πατάξας, οὕτως εἶπεν ἐκκόψαιμι Τιμησίου τὸν ἐγκέφαλον, ὡς οὗτος ἐκκέκοπται. Τοῦτο ὁ Τιμησίας ἀκούσας, καὶ συνεὶς τὸν διήκοντα διὰ πάντων αὐτοῦ φθόνον, ἀναστρέψας ἔφρασε τὸ πρᾶγμα τῇ γυναικὶ· καὶ κελεύσας ἕπεσθαι συνεσκευασμένην εὐθὺς ἀπὸ

odiosè & cum fastidio ciuiũ abusus. 5. Oportet autẽ ciuilẽ Virũ ad populum amore ipsius captũ accedere, suiq; etiã absentis desiderium in animis ciuium relinquere. Quod fecit Scipio Africanus, multũ temporis ruri degens, vt & inuidiæ minueret onus, & respirandi facultatẽ cõcederet ijs, qui gloria ipsius premi videbantur. Contrà Timesias Clazomenius, Vir alioqui de Republica benè meritus, non animaduertit se propterea quod omnia solus ageret, in inuidia esse & odio apud suos, donec tale ei quippiam vsu venit. In Via pueri talũ è fossa excutiebãt, Timesia prætereunte.

τῶν θυρῶν ᾤχετο ἀπιὼν ἐκ τῆς πόλεως. ἔοικε δὲ καὶ θεμιστοκλῆς τοιοῦτόν τι νοῶν ἀπαυλῶντος αὐτῷ παρὰ τῶν ἀθηναίων εἰπεῖν. Τί ὦ μακάριοι κοπιᾶτε πολλάκις εὖ πάσχοντες. αὐτῶν δὲ τούτων τὰ μὲν ὀρθῶς, τὰ δὲ οὐκ εὖ λέλεκται. τῇ μὲν γὰρ εὐνοίᾳ καὶ κηδεμονίᾳ, δεῖ μηδενὸς ἀφεστάναι τῶν κοινῶν, ἀλλὰ πᾶσι προσέχειν καὶ γινώσκειν ἕκαστα. μὴ δὲ ὥσπερ ἐν πλοίῳ σκεῦος ἱερὸν ἀποκεῖσθαι τὰς ἐσχάτας περιμένοντα χρείας τῆς πόλεως καὶ τύχας, ἀλλ' ὡς οἱ κυβερνῆται τὰ μὲν ταῖς χερσὶ δι' αὐτῶν πράττουσι, τὰ δὲ ὀργάνοις ἑτέροις δι' ἑτέρων ἄπωθεν καθήμενοι, περιάγουσι καὶ στρέφουσι, χρῶνται δὲ καὶ ναυ-

*Eorum alij dicebãt nõ excußũ iri talum: qui verò eum excutiebat, vtinã, inquit, ita Timesiæ cerebrũ excutiã, vt hũc talum excussero. Hoc audito Timesias, intelligensq́; odium sui omniũ animos peruagari, domũ reuertit, ac, vxori re exposita, mãdauit, vt rebus conuasatis se sequeretur, rectaq́; à foribus digressus Vrbe exiuit. Apparet etiã Themistocli aliquid simile ab Atheniensibus euenisse, cùm diceret: quid defatigamini, ô felices, crebra accipiendo beneficia? Horum autẽ quædã rectè dicta sũt, quædam secus. 6. Nam, quod ad studiũ & procurationẽ attinet, nul-*

ναύταις καὶ πρωρεῦσι καὶ κελευσταῖς, καὶ τούτων ἐνίους ἀνακαλούμενοι πολλάκις εἰς πρύμναν ἐγχειρίζουσι τὸ πηδάλιον, οὕτω τῷ πολιτικῷ προσήκει παραχωρεῖν μὲν ἑτέροις ἄρχειν καὶ προσκαλεῖσθαι πρὸς τὸ βῆμα μετ᾽ εὐνοίας καὶ φιλανθρωπίας, κινεῖν δὲ μὴ πάντα τὰ τῆς πόλεως τοῖς αὐτοῦ λόγοις καὶ ψηφίσμασιν, ἢ πράξεσιν ἀλλ᾽ ἔχοντα πιστοὺς καὶ ἀγαθοὺς ἄνδρας ἕκαστον ἑκάστῃ χρείᾳ κατὰ τὸ οἰκεῖον προσαρμόττειν, ὡς Περικλῆς Μενίππῳ μὲν ἐχρῆτο πρὸς τὰς στρατηγίας, δι᾽ Ἐφιάλτου δὲ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐταπείνωσε, διὰ δὲ Χαρίνου τὸ κατὰ Μεγαρέων ἐκύρωσε ψήφισμα, Λάμπωνα δὲ Θουρίων

*la pars Reipub. ciuili viro deserēda, curādæ, cognoscēdæq; sunt omnes: neq; debet, veluti in naui sacra anchora, se ipsum ad extremas ciuitatis necessitates ac casus reseruare. 7. Sed quemadmodū gubernator nauis alia suis ipse peragit manibus, alia instrumentis ac manibus aliorū eminus ipse sedens versat, vtiturq; nautis, proretis, & remigū magistris, quorū nō nullis interdum in puppim euocatis clauū tradit: sic ciuilis Viri est officium, vt alijs quoq; imperiū cōcedat, eosq; benignè ad tribunal inuitet, neq; ōnes ciuitatis res suis unius orationibus, decretis, atq; actionibus ad-*

ρίων οἰκιστὴν ἐξέπεμψεν. οὐ γὰρ μόνον τῆς δυνάμεως εἰς πολλοὺς διανέμεσθαι δοκούσης ἧττον ἐνοχλεῖ τὸν φθόνον τὸ μέγεθος, ἀλλὰ καὶ τὰ τῶν χρειῶν ἐπιτελεῖται μᾶλλον. ὡς γὰρ ὁ τῆς χειρὸς εἰς τοὺς δακτύλους μερισμὸς οὐκ ἀσθενῆ πεποίηκεν, ἀλλὰ τεχνικὴν καὶ ὀργανικὴν αὐτῆς τὴν χρῆσιν, οὕτως ὁ πραγμάτων ἑτέροις ἐν πολιτείᾳ μεταδιδοὺς, ἐνεργοτέραν ποιεῖ τῇ κοινωνίᾳ τὴν πρᾶξιν. ὁ δ' ἀπληστίᾳ δόξης ἢ δυνάμεως πᾶσαν ἑαυτῷ τὴν πόλιν ἀνατιθεὶς καὶ πρὸς ὃ μὴ πέφυκε μηδ' ἤσκηται προσάγων αὐτὸν, ὡς κλέων πρὸς τὸ στρατηγεῖν, φιλοποίμην δὲ πρὸς τὸ ναυαρχεῖν, ἀννίβας δὲ πρὸς τὸ δημηγορεῖν,

administret, sed fidos habeat bonosq́ viros, quorum vnumquenq́ peculiari alicui negotio accõmodet tractãdo. Sic Pericles Menippo vsus est ad gerenda bella, Ephialtis opera concilium Areopagiticũ depressit, per Charinum legem contra Magarenses pertulit: Lampone Thurios conditũ emisit. 8. Nõ enim tantũ minus obnoxia est inuidiæ ob magnitudinem potẽtia, quæ in multos distributa videtur: sed & rectius negotia conficiuntur. Sicut enim manus in digitos diuisio, nõ imbecillum eius reddidit, sed artificiosum & instrumentis expeditum vsũ: ita qui in Repub. alijs

ρεῖν, οὐκ ἔχει παραίτησιν ἁμαρτάνων. ἀλλὰ προσακούει τὸ τοῦ εὐριπίδου. τέκτων γὰρ ὢν ἔπραττες οὐ ξυλουργικά. λέγειν ἀπίθανος ὢν ἐπρέσβευες, ἢ ῥάθυμος ὢν ᾠκονόμεις, ψήφων ἄπειρος ἐταμίευες, ἢ γέρων καὶ ἀσθενὴς ἐστρατήγεις. περικλῆς δὲ πρὸς κίμωνα διενείματο τὴν δύναμιν, αὐτὸν μὲν ἄρχειν ἐν ἄστει, τὸν δὲ πληρώσαντα τὰς ναῦς, τοῖς βαρβάροις πολεμεῖν. ἦν γὰρ ὁ μὲν πρὸς πολιτείαν, ὁ δὲ πρὸς πόλεμον εὐφυέστερος. ἐπαινοῦσι δὲ καὶ τὸν ἀναφλύστιον εὔβουλον. ὅτι πίστιν ἔχων ἐν τοῖς μάλιστα καὶ δύναμιν, οὐδὲν τῶν ἑλληνικῶν ἔπραξεν, οὐδ' ἐπὶ στρατηγίαν ἦλθεν, ἀλλ' ἐπὶ τὰ χρήματα τά-

*aliis munera publica cõmittit, actiones efficit ob societatem efficaciores. 9. At, qui insatiabili gloriæ potentiæue studio totam sibi imponit Rempub; & ea quoq; aggreditur, ad quæ vel à natura vel ab exercitatione est imparatus (vt cum Cleo ad ducẽdum exercitũ, Philopœmen ad regendam classem, Annibal ad cõcionandũ se cõtulit) eius, vbi quid peccatũ est non habet locũ excusatio, sed occinitur præterea ei Euripideũ hoc: tractasti, qui faber esses, nõ fabrilia: scilicet legationẽ obiuisti, artis persuadendi rudis; annonã procurasti socors, quæsturam gesisti ignarus calcu-*

ξας ἑαυτὸν, ηὔξησε τὰς κοινὰς προσόδους· καὶ μεγάλα τὴν πόλιν ὠφέλησεν. Ἰφικράτης δὲ καὶ μελέτας λόγων ποιούμενος, ἐν οἴκῳ πολλῶν παρόντων ἐχλευάζετο. καὶ γὰρ εἰ λογεὺς ἀγαθὸς ἀλλὰ μὴ φαῦλος ἦν, ἔδει τὴν ἐν τοῖς ὅπλοις δόξαν ἀγαπῶντα, τῆς σχολῆς ἐξίστασθαι τοῖς σοφισταῖς.

li; senex vel imbecillus exercitũ duxisti. Pericles verò etiã cum Cimone potentiã diuisit, vt ipse in vrbe imperaret; Cimo classe in barbaros duceret. Erat enim hic ad bellum, ad ciuiles res ille natura aptior. Laudatur etiã Eubulus Anaphlystius, qui cum fide esse summa atq; potentia, nihil rerum Græcarum geßit, neq; ad præturã bellicam se contulit: sed administrationem pecuniæ amplexus, publicos auxit reditus, magnoq; fuit patriæ emolumẽto. Iphicrates contrà domi multis præsentibus declamans, risui fuit. quia etsi fuisset, quod minimè erat, orator bellus, tamẽ contẽtus bellica gloria, decedere schola sophistis debebat.

## PRÆCEPTVM IX.

De dissensionibus, quæ. 1. populi ob peruersitatem crebrò oriuntur. 2. Non verò Onomademi exemplo, politico vltro accersendæ, aut relinquendæ, stultitia quadam. 3. Sed declinandæ ac fugiendæ sunt ita: vt non eandem vniuersi dicere sententiam cogantur: placidè dicatur contra amicum: prolata semel non pertinaciter defendatur, sed ab hac discedatur. 4. Paruis interim atq; exiguis in rebus dissentire liceat.

Ἐπεὶ

Ἐπεὶ δὲ παντὶ δήμῳ τὸ κακόηθες καὶ φιλαίτιον ἔνεστι πρὸς τοὺς πολιτευομένους, καὶ πολλὰ τῶν χρησίμων ἂν μὴ στάσιν ἔχῃ, μὴ δὲ ἀντιλογίαν ὑπονοοῦσι πράττεσθαι συνωμοτικῶς· καὶ τοῦτο διαβάλλει μάλιστα τὰς ἑταιρείας καὶ φιλίας, ἀληθινὴν μὲν ἔχθραν ἢ διαφορὰν, οὐδεμίαν ἑαυτοῖς ὑπολειπτέον. ὡς ὁ τῶν χίων δημαγωγὸς ὀνομάδημος οὐκ εἴα τῇ στάσει κρατήσας πάντας ἐκβάλλειν τοὺς ὑπεναντίους, ὅπως ἔφη μὴ πρὸς τοὺς φίλους ἀρξώμεθα διαφέρεσθαι, τῶν ἐχθρῶν παντάπασιν ἀπαλλαγέντες. Τοῦτο μὲ γὰρ εὔηθες· ἀλλ᾽ ὅταν ὑπόπτως ἔχωσιν οἱ πολλοὶ πρός τι πρᾶγμα καὶ μέγα καὶ

Σω-

*Præterea. 1. quoniam omnes populi ea laborant animorũ peruersitate: vt de ÿs malignè sentiãt, qui Rempub gerunt, atq; ansas eos culpandi capient, multaq; vtilia, quæ citra dißidium aut altercationẽ aguntur, in suspicionẽ vocent, tanquam per cõiurationẽ gesta, eaq; res maximè sodalicia & amicitias calumnÿs obÿcit: 2. nõ debet sanè Vir ciuilis verã inimicitiã vllã, aut dissensionẽ sibi facere reliquam. Quantumuis Onomademus, Chiorũ populi ductor, cum in seditione victor extitisset, nõ passus fuerit omnes eÿci aduersarios; quòd vereri se diceret, ne, ini-*

σωτήριον, οὐ δεῖ πάντας ὥσπερ ἀπὸ συντάξεως ἥκοντας, τὴν αὐτὴν λέγειν γνώμην. ἀλλὰ δύο καὶ τρεῖς διαστάντας, ἀντιλέγειν ἠρέμα τῷ φίλῳ, εἶτα ὥσπερ ἐξελεγχομένους μετατίθεσθαι. συνεφέλκονται γὰρ οὕτω τὸν δῆμον ὑπὸ τοῦ συμφέροντος ἄγεσθαι δόξαντες. ἐν μέν τοι τοῖς ἐλάττοσι καὶ πρὸς μέγα μηδὲν ἥκουσιν, οὐ χεῖρόν ἐστι καὶ ἀληθῶς ἐᾶν διαφέρεσθαι τοὺς φίλους, ἕκαστον ἰδίῳ λογισμῷ χρώμενον, ὅπως περὶ τὰ κυριώτατα καὶ μέγιστα φαίνωνται πρὸς τὸ βέλτιστον οὐκ ἐκ παρασκευῆς ὁμοφρονοῦντες.

*micis omnino liberati, cum amicis dissentire inciperent. Hoc quidẽ fatuum est. 3. Verùm cum multitudini suspecta est actio aliqua magna & salutaris, nõ expedit vniuersos, tãquam ex composito, ad vnã eandemq́; dicendam sententiã venire; sed duo vel tres, facta discessione, placidè cõtra amicum dicant, ac tãdẽ, veluti cõuicti, à sua sentẽtia discedãt. Sic enim vnà in sentẽtiam propositã populus ab ijs perducitur, dum eos vtilitate moueri existimat. 4. In exiguis quidem causis, & ad nullam magnam rem perducentibus nihil impedit, quin in re etiã vera sinas amicos dissentire, vnoquolibet suas secuto rationes: vt in negotijs principalibus atq́; maximis videãtur opti-*

*tur optimi, publici causa, nō dedita in hoc prius opera consentire.*

## PRÆCEPTVM X.

*De Magistratibus minoribus. 1. qui, nec sæpè, nec nimis capessendi. 2. nec etiā recusandi, vbi delati à populo fuerint, etiamsi inferiores extiterint alicuius gloria 3 Quandoquidem æquitas istud postulare videtur: vt superioribus magistratibus ornati, inferiores rursus ornemus 4. Sed ita, vt nos non minus in his à contemptu, atq; superioribus inuidia vindicemus.*

Φύσει μὲν οὖν ἄρχων ἀεὶ πόλεως ὁ πολιτικὸς, ὥσπερ ἡγεμὼν ἐν μελίτταις. καὶ τοῦτο χρὴ διανοούμενον, ἔχειν τὰ δημόσια διὰ χειρὸς. ἃς δὲ ὀνομάζουσιν ἐξουσίας καὶ χειροτονοῦσιν ἀρχὰς, μήτε ἄγαν διώκειν καὶ πολλάκις. οὐ γὰρ σεμνὸν, οὐ δὲ δημοτικὸν ἡ φιλαρχία, μήτε ἀπωθεῖσθαι τοῦ δήμου κατὰ νόμον διδόντος καὶ καλοῦντος. ἀλλὰ κἂν ταπεινότεραι τῆς δόξης ὦσι, δέχεσθαι καὶ συμφιλο-

*Enimverò ciuilis vir, naturæ ratione, semper princeps est ciuitatis, vt rex inter apes. 1. idq; cogitātē oportet Reipub. gubernacula in manibus habere: reliquos minores magistratus neq; admodum capessere, neq; sæpè: (nam magistratuum gerendorum cupiditati neq; cum maiestate, neq; cum populari gratia conuenit) 2. neq; rursum auersari eos deferente, ac inuitante*

τιμεῖσθαι. δίκαιον γὰρ ὑπὸ τῶν μειζόνων κοσμουμένους ἀρχῶν ἀντικοσμεῖν τὰς ἐλάττονας. καὶ τῶν μὲν βαρυτέρων, οἷον στρατηγίας ἀθήνησι, καὶ πρυτανείας ἐν ῥόδῳ, καὶ βιωταρχίας παρ' ἡμῖν, ὑφίεσθαί τι καὶ παρενδιδόναι μετριάζοντα. ταῖς δὲ μικροτέραις ἀξίωμα προστιθέναι καὶ ὄγκον. ὅπως μήτε περὶ ταύτας εὐκαταφρόνητοι, μήτ' ἐπίφθονοι περὶ ἐκείνας ὦμεν,

populo, sed, tametsi inferiores gloria ipsius sint, in ÿs capessendis & studium multitudinis comprobare. 3. Aequũ enim est, vt ex superioribus magistratibus ornamẽta adeptus, inferiores vicißim exornet: vtq; in maioribus illis dignitatibus, qualis est Athenis prætura, Rhodi prytaneia, & apud nos Bœotarchia ea moderatione versatus, vt nonnihil de eorũ maiestate vltrò remiserit, minoribus aliquid dignitatis atq; amplitudinis conciliet: 4. atq; vt in his à contemptu se, sic in illis ab inuidia tutum præstet.

## PRÆCEPTVM XI.

*De ÿs, quæ vnũquemq; magistratum suscipienti obseruanda. vt cogitetur 1. in quos geratur imperium, quemadmodum Pericles hoc diligenter obseruauit. 2. Quæ etiam imperantis conditio. 3. Non fines atq; termini constituti excedantur. 4. Quod error hîc commissus perniciem & interitũ affert Magistratibus. 5. Populũ concitat. 6. Quemadmodum Atheniensium, aliorumq; Græcorum hæc exempla demonstrant.*

Porrò

Εἰσιόντα δὲ εἰς ἅπασαν ἀρχὴν, οὐ μόνον ἐκείνους δεῖ προχειρίζεσθαι τοὺς λογισμοὺς, οὓς ὁ περικλῆς αὐτὸν ὑπεμίμνησκεν ἀναλαμβάνων τὴν χλαμύδα, πρόσεχε περίκλεις, ἐλευθέρων ἄρχεις, ἑλλήνων ἄρχεις πολιτῶν ἀθηναίων, ἀλλὰ κἀκεῖνο λέγειν πρὸς ἑαυτὸν ἀρχόμενος ἄρχεις, ὑποτεταγμένης πόλεως ἀνθυπάτοις, ἐπιτρόποις καίσαρος, οὐ ταῦτα λόγχης πεδία, οὐδὲ αἱ παλαιαὶ σάρδεις, οὐδὲ ἡ λυδῶν ἐκείνη δύναμις. εὐσταλεστέραν δεῖ τὴν χλαμύδα ποιεῖν, καὶ βλέπειν ἀπὸ τοῦ στρατηγίου πρὸς τὸ βῆμα, καὶ τῷ στεφάνῳ μὴ πολὺ φρόνημα, πιστεύειν, ὁρῶντα τοὺς καλτίους ἐπάνω

τῆς

*Porrò qualemcunque magistratū accipienti 1. nō eæ modò in prōptu sunt habēdæ rationes, quibus Pericles se ipsū officij commonefaciebat, quoties chlamydē sumeret; animum aduerte Pericles; liberis præes; Græcis præes; præes ciuibus Athēiensibus. 2. sed & hæc secum commemoranda; imperas subditus, vrbi præfectus, quæ procōsulibus aut procuratoribus Cæsaris est subiecta. Non hîc Lanceæ cāpi sunt, nec priscæ Sardes, neque Lydorum illa potētia. gestanda est tibi chlamys vilior, & à prætorio oculi in tribunal conuertendi; neque multum fiduciæ in corona ponendum, cum supra*

*caput*

τῆς κεφαλῆς, ἀλλὰ μιμεῖσθαι τοὺς ὑποκριτάς, πάθος μὲν ἴδιον καὶ ἦθος καὶ ἀξίωμα τῷ ἀγῶνι προστιθέντας, τοῦ δὲ ὑποβολέως κατακούοντας καὶ μὴ παρεκβαίνοντας τοὺς ῥυθμοὺς καὶ τὰ μέτρα τῆς διδομένης ἐξουσίας ὑπὸ τῶν κρατούντων. ἡ γὰρ ἔκπτωσις οὐ φέρει συριγμὸν οὐδὲ χλευασμόν, ἀλλὰ πολλοῖς μὲν ἐπέβη δεινὸς κολαστὴς πέλεκυς αὐχένος τομεύς. ὥστε τοῖς περὶ παρδάλαν τὸν ὑμέτερον ἐκλαθομένοις τῶν ὅρων. ὁ δέ τις ἐκριφεὶς εἰς νῆσον, γέγονε κατὰ τὸν σόλωνα Φελεγάνδριος ἢ Σικινίτης, ἀντί γ' ἀθηναίου πατρίδ' ἀμειψάμενος. Τὰ μὲν γὰρ μικρὰ παιδία τῶν πατέρων ὁρῶντες ἐπιχειροῦν-

τα

*caput tuum calceos cernas. 3. sed imitãdi sunt histriones, & suo modo actioni affectus gestusq; & ornamẽta adhibenda, interim verba suggerẽti aures præbẽdo, neq; extra modũ & mẽsurã abeo, cuius summa est potestas, præscriptam muneri concesso egrediendo. 4. Hoc enim loco error nõ sibilos aut sannas excitat: sed multos arripuit vindex atrox securis ceruicẽ amputans: quod euenit Pardalæ nostro, finium oblito. alius in insulã relegatus, factus est iuxta illud Solonis Phelegrãdius, aut Sicinita extorris patriæ limine Cecropiæ. Etenim, cum videmus puerulos paren-*

τα τὰς κρηπῖδας ὑποδεῖσθαι καὶ τοὺς στεφάνους περιτίθεσθαι μετὰ παιδιᾶς γελῶμεν. οἱ δ' ἄρχοντες ἐν ταῖς πόλεσιν ἀνοήτως τὰ τῶν προγόνων ἔργα καὶ φρονήματα καὶ πράξεις ἀσυμμέτρους τοῖς παροῦσι καιροῖς καὶ πράγμασιν οὔσας μιμεῖσθαι κελεύοντες, ἐξαίρουσι τὰ πλήθη, γελοῖά τε ποιοῦντες, οὐκέτι γέλωτος ἄξια πάσχουσιν, ἂν μὴ πάνυ καταφρονηθῶσι. πολλὰ γάρ ἐστιν, ἀλλὰ τῶν πρότερον Ἑλλήνων διεξιόντα τοῖς νῦν, ἠθοποιεῖν καὶ σωφρονίζειν, ὡς Ἀθήνησιν ὑπομιμνήσκοντα, μὴ τῶν πολεμικῶν ἀλλ' οἷόν ἐστι τὸ ψήφισμα τὸ τῆς ἀμνηστίας ἐπὶ τοῖς τριάκοντα, καὶ τὸ ζημιῶσαι Φρύνιχον τραγῳδίᾳ διδά-

rentũ crepidas conari ſubligare ſibi, aut coronas eorum capitibus ſuis imponere, per iocum ridemus. 5. At vrbani magiſtratus maiorum opera, arduos conatus, & facta præſentibus temporibus ac rebus nõ congrua, ẽtia ſtultè iubẽtes imitari, multitudinẽ concitãt: &, cum ridicula ſunt moliti, nõ riſu iã digna patiuntur, niſi planè ſint cõtempti. 6. Sunt ſanè multa priſcorũ Græcorũ facta, quibus recẽſendis noſtrorũ poßimus formare & corrigere mores. Vt ſi quis Athenis nõ bello geſtas res, ſed (verbi gratia) decretum de conterendis obliuione iniurÿs factum poſt de-

διδάξαντα τὴν μιλήτου ἅλωσιν. καὶ ὅτι θήβας κασάνδρου κτίζοντος, ἐστεφανηφόρησαν· τὸ δ' ἐν ἄργει πυθόμενοι σκυταλισμὸν ἐν ᾧ πεντακοσίους καὶ χιλίους ἀνῃρήκεισαν ἐξ αὐτῶν οἱ ἀργεῖοι, περιενεγκεῖν καθάρσιον περὶ τὴν ἐκκλησίαν ἐκέλευσαν. ἐν δὲ τοῖς ἁρπαλείοις τὰς οἰκίας ἐρευνῶντες, μόνην τὴν τοῦ γεγαμηκότος νεωστὶ παρῆλθον. ταῦτα γὰρ ἔξεστι καὶ νῦν ζηλοῦντας, ἐξομοιοῦσθαι τοῖς προγόνοις. τὸν δὲ μαραθῶνα καὶ τὸν εὐρυμέδοντα καὶ τὰς πλαταιὰς καὶ ὅσα τῶν παραδειγμάτων οἰδεῖν ποιεῖ καὶ φρυάττεσθαι διακενῆς τοὺς πολλοὺς, ἀπολιπόντας ἐν ταῖς σχολαῖς τῶν σοφιστῶν.

deiectos triginta tyrãnos referat: & quòd Phrynichũ mulctauerunt, qui tragœdiã de capta Mileto docuisset: quod Casandro Thebas instaurãte coronas gestauerunt: quòd audito Argiuos, scytalismo facto CIↃ IↃ ciues interfecisse, concionẽ lustrare iusserũt: quod ob Harpali pecunias domos perscrutantes, eam solam eximiã habuerunt, in qua nouus maritus agebat. His enim etiamnum imitandis licet maiorum similes fieri, Marathõ autem, Eurymedon, Platææ, & quæ alia exẽpla animos multitudinis inflant, inaniq́; ferocia extollunt, in rhetorum scholis sunt relinquenda.

PRAE-

# PRAECEPTVM XII.

*De amicitijs principum ac potentum in Repub: parandis. 1. quæ non priuatim modò singulis, verum etiam publicè prosunt. 2. Probant hoc exempla Polybij, Panætij, Arij, quibus principum cum primis vtilis familiaritas extitit, etiam Reipub. commodauit. 3. Modò nō patriæ opprimendæ quis socium his præbeat: aut pauidam formidolosamq; eandem reddat. 4. Quemadmodum sine medicis & horum præscripto dum nihil quidem agunt, timidè ac meticulosè cuncta administrant. 5. Cuius causa nulla alia, quàm procerum auaritia, & inter sè contendendi amor. 6. Cum Politici sit; priuatos ἰσότητι, æqualitate, authoritate ac potentia præditos εὐθυπείξει, officijs atq; obsequijs mutuis sibi deuincire, & sic expedire negotia; etiam alijs, studij contendendi malis ac incommodis expositis. 7. Quod ab ijs negligitur, qui controuersias suas Rhetoribus committere, quàm amicè cum ciuibus, tribulibus, vicinis, collegis componere malunt. 8. Neq; quòd maximè faciendum, illud cauent, ne in ipsa ciuitate orta dissidia, clam & occultè sanentur ac tollantur: ad externa venire remedia necesse sit.*

Οὐ μόνον δὲ δεῖ παρέχειν αὐτόν τε καὶ τὴν πατρίδα πρὸς τοὺς ἡγεμόνας ἀναίτιον, ἀλλὰ καὶ φίλον ἔχειν ἀεί τινα τῶν ἄνω δυνατωτάτων, ὥσπερ ἕρμα τῆς πολιτείας βέβαιον. Τοιοῦτοι γάρ εἰσι ῥωμαῖοι πρὸς τὰς πολιτικὰς σπουδὰς προθυμότατοι τοῖς φίλοις, καὶ

*Non modò autem se & patriam ciuilis vir inculpatam apud principem præstare debet; sed præterea semper aliquem ex potentissimis habere amicum 1. veluti fulcrum Reipublicæ stabile. Eo enim sunt Romani ingenio, vt in officijs ciuilibus*

καὶ καρπὸν οὐκ ἐκ φιλίας ἡγεμονικῆς λαμβάνοντες, οἷον ἔλαβε πολύβιος καὶ παναίτιος, τῇ σκιπίωνος εὐνοίᾳ πρὸς αὐτοὺς μεγάλα τὰς πατρίδας ὠφελήσαντες, εἰς εὐδαιμονίαν ἐξενέγκασι καλὸν ἄρειόν τε καῖσαρ, ὅτε τὴν ἀλεξάνδρειαν εἷλε διὰ χειρὸς ἔχων, καὶ μόνῳ προσομιλῶν τῶν συνήθων συνεισήλασεν, εἶτα τοῖς ἀλεξανδρεῦσι τὰ ἔχατα προσδοκῶσι καὶ δεομένοις, ὁ αὔγουστος ἔφη διαλλάττεσθαι, διά τε τὸ μέγεθος τῆς πόλεως, καὶ διὰ τὸν οἰκιστὴν ἀλέξανδρον καὶ τρίτον ἔφη τῷ φίλῳ μου τούτῳ χαριζόμενος. ἆρά γε ἄξιον τῇ χάριτι ταύτῃ παραλαβεῖν τὰς πολυταλάντους ἐπιτροπὰς καὶ διοι-

uilibus promtißimos se amicis exhibeant. 2. Estq; utile, exempla eorum proferre, qui magnas ex principum familiaritate utilitates perceperunt. Sicut Polybius & Panætius, Scipionis adiuti fauore, patriæ uterq; suæ magnum ad felicitatē attulit adiumentum. Et Cæsar, cum Alexādream cepisset, Ariū manu tenens, cùmq; eo familiariū solo colloquens, in eam urbē est inuectus. metuentibusq; extrema Alexādrinis ac deprecātibus, ueniam se dare respondit, cùm, ob urbis amplitudinē, tùm, ob conditorē eius Alexādrū, ac tertiò in Arij, amici sui gratiam. Númnam huius-

διοικήσεις τῶν ἐπαρχιῶν, ἃς διώκοντες οἱ πολλοὶ γηράσκουσι πρὸς ἀλλοτρίαις θύραις τὰ οἴκοι προλιπόντες; ἢ τὸν Εὐριπίδην ἐπανορθωτέον ᾄδοντα καὶ λέγοντα, ὡς εἴπερ ἀγρυπνεῖν χρὴ, καὶ φοιτᾶν ἐπ' αὐλὴν ἑτέρου, καὶ ὑποβάλλειν ἑαυτὸν ἡγεμονικῇ συνηθείᾳ, πατρίδος πέρι κάλλιστον ἐπὶ ταῦτα χωρεῖν, τὰ δ' ἄλλα τὰς ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις φιλίας ἀσπάζεσθαι καὶ διώκειν. ποιοῦντα μέντοι καὶ παρέχοντα τοῖς κρατοῦσιν εὐπειθῆ τὴν πατρίδα, δεῖ μὴ προσεκταπεινοῦν, μηδὲ τοῦ σκέλους δεδεμένου προσυπερβάλλειν καὶ τὸν τράχηλον, ὥσπερ ἔνιοι καὶ μικρὰ καὶ μείζω φέροντες ἐπὶ τοὺς ἡγεμόνας, ἐξονειδίζουσι τὴν δουλείαν.

των, οὐκ ἐῶν αὐτοῦ γενέσθαι, μᾶλλον ἔφη βούλομαι πυνθάνεσθαί τινας διὰ τί μου ἀνδριὰς οὐ κεῖται, ἢ διὰ τί κεῖται. καὶ γὰρ φθόνον ἔχει τὰ τοιαῦτα, καὶ νομίζουσιν οἱ πολλοὶ, τοῖς μὴ λαβοῦσιν αὐτοὶ χάριν ὀφείλειν, τοὺς δὲ λαβόντας αὐτοῖς καὶ βαρεῖς εἶναι, οἷον ἐπὶ μισθῷ τὰς χρείας ἀπαιτοῦντες. ὥσπερ οὖν ὁ παραπλεύσας τὴν σύρτιν, εἶτα ἀνατραπεὶς περὶ τὸν πορθμὸν, οὐθὲν μέγα πεποίηκεν οὐδὲ σεμνὸν, οὕτως ὁ τὸ ταμεῖον φυλαξάμενος καὶ τὸ δημοσιώνιον, ἁλοὺς δὲ περὶ τὴν προεδρίαν ἢ τὸ πρυτανεῖον, ὑψηλῷ προσέπταικεν ἀκρωτηρίῳ, βαπτίζεται δ' ὁμοίως. ἄριστος μὲν οὖν ὁ μηδενὸς δεόμενος τῶν τοιούτων,

ἀλ-

*aut Stipator, laudatur Ac Cate, cùm iam tum statuis Roma oppleretur, nullam sibi passus est poni, quòd diceret malle quæri cur non, quàm cur ipsi statua esset collocata. 5. Sunt enim id genus res inuidiæ expositæ; ac pleriq; censent gratiam se ijs debere, quibus tale dederint nihil deberi autem sibi ab his qui acceperint, eosq; molestos esse, qui veluti mercede suam locent operã. Ergo, sicut qui Syrti euitata, nauim ad fretum subuertit, nihil præclarum aut memorabile præstitit: sic qui ærario & redẽpturis publicis cùm abstinuisset, vincitur prima in consessu di-*

*gni*

ἀλλὰ φεύγων καὶ παρ-
αιτούμενος. ἂν δ᾽ ᾖ μὴ
ῥᾴδιον δήμου τινὰ χάριν
ἀπώσασθαι καὶ φιλο-
φροσύνην πρὸς τοῦτο ῥυ-
έντος, ὥσπερ οὐκ ἀρ-
γυρίτην οὐδὲ δωρίτην
ἀγῶνα πολιτείας ἀγω-
νιζομένοις, ἀλλὰ ἱερὸν
ὡς ἀληθῶς καὶ στεφα-
νίτην ἐπιγραφή τις
ἀρκεῖ, καὶ πινάκιον, καὶ
ψήφισμα, καὶ θαλλὸς,
ὡς ἐπιμενίδης ἔλαβεν
ἐξ ἀκροπόλεως, καθή-
ρας τὴν πόλιν. ἀνάξα-
γόρας δὲ τὰς διδομένας
ἀφεὶς τιμὰς, ᾐτήσατο
τὴν ἡμέραν ἐκείνην καθ᾽
ἣν ἂν τελευτήσῃ, τοὺς
παῖδας ἀφιέναι παί-
ζειν καὶ σχολάζειν ἀπὸ
τῶν μαθημάτων. τοῖς δὲ
τοὺς μάγους ἀνελοῦσιν
ἑπτὰ πέρσαις, ἔδωκαν
αὐτοῖς καὶ τοῖς ἀπ᾽ αὐ-

*gnitate aut prytaneo,
is sublimi quidem im-
pingit promontorio,
nihilo tamen minus
mergitur. Optimè
itaq; cum eo agitur, cui
nihil cum ulla tali re
est negotij, sed fugit ac
recusat omnia. 6. Quòd
si populi huc propendē-
tis gratiam ac studiū
non facilè sit repudia-
re: quia in Reipub. cer-
taminibus non argen-
tum, aut munus præ-
mij loco petitur, sed sa-
crum est revera & co-
ronarium certamen;
inscriptio aliqua suffi-
ciet, & tabella, & de-
cretum, & germen. 7.
Sicut ex arce accepit
Epimenides, cum Ur-
bem lustrasset: & Ana-
xagoras honoribus
qui offerebantur recu-*

τῶν γενομένοις. εἰς τοὔμπροσθεν τῆς κεφαλῆς τὴν τιάραν φορεῖν. Τοῦτο γὰρ ἐποιήσαντο σύμβολον ὡς ἔοικε χωροῦντες ἐπὶ τὴν πρᾶξιν. ἔχει δέ τι καὶ ἡ τοῦ Πιττακοῦ τιμὴ πολιτικόν. ἧς γὰρ ἐκτήσατο χώρας τοῖς πολίταις, γῆν ἣν ἂν ἐθέλει λαβεῖν κελευσθεὶς, ἔλαβε τοσαύτην ὅσην ἐπῆλθε τὸ ἀκόντιον αὐτοῦ βαλόντος. ὁ δὲ Ῥωμαῖος Κόκλιος, ἣν ἡμέρᾳ μιᾷ χωλὸς ὢν περιήροσεν. οὐ γὰρ μισθὸν εἶναι δεῖ τῆς πράξεως, ἀλλὰ σύμβολον τὴν τιμὴν, ἵνα καὶ διαμένῃ πολὺν χρόνον, ὥσπερ ἐκεῖναι διέμειναν. τῶν δὲ Δημητρίου τοῦ Φαληρέως τριακοσίων ἀνδριάντων, οὐδεὶς ἔσχεν ἰὸν οὐδὲ πίνον, ἀλλὰ πάντες ἔτι

ζῶν-

*satis, postulauit ut ea qua decessisset è viuis die, pueris vacatio scholarũ, & discẽdi cõcederetur. & septem Persis qui magos interfecerũt, eorumq; posteris cõcessum est ut tiaram in anteriorẽ capitis partem obverterẽt: apparet enim eos cùm rem eam aggrederentur, hac fuisse vsos tessera. Habet etiam Pittaci honor ciuile quippiam? iussus enim de agro, quem ciuibus acquisiuerat, sumere sibi quantã vellet portionem, tantũ accepit, quantum misso iaculo consequebatur: ut Cocles Romanus, quantũ Vna die claudus ipse circumararet. Debet enim honor non mer-*

*ces*

ζῶντος περιῃρέθησαν. τοὺς δὲ δημάδου κατεχώνευσαν εἰς ἀμίδας καὶ πολλαὶ τοιαῦται τιμαὶ πεπόνθασιν, οὐ μοχθηρίᾳ τοῦ λαβόντος μόνον, ἀλλὰ καὶ μεγέθει τοῦ δοθέντος δυσχερανθεῖσαι. Διὸ κάλλιστον καὶ βεβαιότατον εὐτέλεια τιμῆς φυλακτήριον. αἱ δὲ μεγάλαι καὶ ὑπέρογκοι καὶ βάρος ἔχουσαι τοῖς ἀσυμμέτροις ἀνδριᾶσι ταχὺ περιτρέπονται. ὀνομάζω δὲ νῦν τιμὰς ἅς οἱ πολλοὶ κατ' ἐμπεδοκλέα ἣ θέμις καλοῦσιν. ὅμως ἐπίφημι καὶ αὐτὸς ἐπεὶ τήν γε ἀληθινὴν τιμὴν καὶ χάριν ἱδρυμένην ἐν εὐνοίᾳ καὶ διαθέσει τῶν μεμνημένων, οὐχ ὑπερόψεται πολιτικὸς ἀνήρ, οὐδέ γε δόξαν ἀτιμάσει φευ-

*ces facinoris esse, sed signum: vt & diu perduret, sicuti illi durauerunt. 8. At de CCC. statuis Demetrij Phalerei, nullam corrupit ærugo, aut situs, sed omnes, viuente ipso, euersæ sunt: Demadis statuæ conflatæ sunt in matulas. Multaq; talia honoribus contigerũt, nõ tantùm ob eius, cui decreti essent prauitatem, sed etiam ob molẽ suam in odiũ adducti. Itaq; tenuitas sumptuum optimè ac firmißimè ad honorarij custodiam facit: magna & immodica, itidem vt statuæ non respondentes proportioni, subuertuntur. Voco autẽ nunc honores, quos (vt Empedocleo loquar more)*

φεύγων τὸ τοῖς πέλας ἀνδάνειν, ὡς ἠξίου δημόκριτος. οὐδὲ γὰρ κυνῶν ἀσπασμὸς, οὐδὲ ἵππων εὔνοια, θηραταῖς καὶ ἱπποτρόφοις ἀπόβλητον, ἀλλὰ καὶ χρήσιμον καὶ ἡδὺ συντρόφοις καὶ συνήθεσι ζώοις τοιαύτην ἐνεργάσασθαι διάθεσιν πρὸς αὐτὸν, οἵαν ὁ Λυσιμάχου κύων ἐπιδείκνυτο. καὶ τῶν ἀχιλλέως ἵππων ὁ ποιητὴς διηγεῖται περὶ τὸν πάτροκλον. οἶμαι δ' ἂν καὶ τὰς μελίττας ἀπαλλάττειν βέλτιον, εἰ τοὺς τρέφοντας καὶ θεραπεύοντας ἀσπάζεσθαι καὶ προσίεσθαι μᾶλλον, ἢ κεντεῖν καὶ χαλεπαίνειν ἐβούλοντο. νυνὶ δὲ ταύτας μὲν καπνῷ κολάζουσιν. ἵππους δ' ὑβριστὰς καὶ κύνας ἀποστάτας, κλοιοῖς καὶ χα-

re) sic vulgò dicunt, tamen haud assentior ipse. 9. Nã verum honorẽ, gratiamq́; fundatam in benuolentia animiq; memorũ affectione, non despiciet vir ciuilis; neq; gloriã contẽnet, fugiens proximis placere, vt volebat Democritus. 10. Nam neq; canum salutatio, neq; equorum beneuolentia venatotoribus, & qui equos alunt, videtur aspernanda: imò vtile est ac iucũdũ in animalibus familiaribus & vnà viuentibus huiusmodi affectionem erga se generasse: qualem Lysimachi canis demõstrauit, & de Achillis equis erga Patroclum poëta refert. Existimo etiã cum

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-147150-p0158-6

χαλινοῖς ἄγουσιν ἠναγκασμένους. ἄνθρωπον δ' ἀνθρώπῳ χειρονήθη καὶ πρᾶον ἑκουσίως, οὐδὲν ἀλλ' ἢ πίστις εὐνοίας, καὶ καλοκαγαθίας δόξα καὶ δικαιοσύνης παρίστησιν. ἣν καὶ δημοσθένης ὀρθῶς μέγιστον ἀποφαίνεται πρὸς τοὺς τυράννους φυλακτήριον, ἀπιστίαν ταῖς πόλεσι. τοῦτο γὰρ μάλιστα τῆς ψυχῆς τὸ μέρος ᾧ πιστεύομεν ἁλώσιμόν ἐστιν. ὥσπερ οὖν τῆς κασάνδρας ἀδοξούσης ἀνόνητος ἦν ἡ μαντικὴ τοῖς πολίταις. ἄκραντον γάρ με φησὶν ἔθηκε θεσπίζειν θεὸς, καὶ πρὸς παθόντων κἂν κακοῖσι κειμένων, σοφὴ κέκλημαι πρὶν παθεῖν δὲ μαίνομαι, οὕτως ἡ πρὸς ἀρχύταν πίστις καὶ πρὸς βάτον

εὐ-

cum apibus meliùs actũ iri, si eos à quibus nutriũtur & curantur admittere potius & adblandiri, quàm abigere & pungere velint. Nunc eas fumo puniunt: equos autẽ petulantes, & infidos canes inuitos numellis agũt ac frænis. II. At hominem homini obsequentem vltrò cicuremq́ nihil aliud facit, quam fides beneuolentiæ, integritatisq́ & iustitiæ opinio. Quo nomine Demosthenes rectè pronunciauit, nullam ciuitatibus aduersus tyrannos meliorẽ esse diffidẽtia cautionem. Maximè enim ea pars animi, qua fidem adhibemus, capi potest. Sicuti ergò Casandræ

Vati-

εὔνοια τῶν πολιτῶν, μεγάλα τοὺς χρωμένους αὐτοῖς διὰ τὴν δόξαν ὠφέλησε. καὶ τοῦτο μὲν πρῶτον καὶ μέγιστον ἔνεστι τῇ δόξῃ τῇ τῶν πολιτικῶν ἀγαθῶν, ἡ πάροδον ἐπὶ τὰς πράξεις διδοῦσα πίστις. δεύτερον δ᾽ ὅτι πρὸς τοὺς βασκάνους καὶ πονηροὺς ὅπλον ἡ παρὰ τῶν πολλῶν εὔνοια τοῖς ἀγαθοῖς ἐστιν. ὡς ὅτε μήτηρ παιδὸς ἐέργει μυῖαν ὅθ᾽ ἡδέϊ λέξεται ὕπνῳ, ἀπερύκουσα τὸν φθόνον καὶ πρὸς τὰς δυνάμεις ἐπανιστοῦσα, τὸ ἀγεννῆ τοῖς εὐπατρίδαις ἐστὶ τὸ πένητα τοῖς πλουσίοις καὶ τὸν ἰδιώτην τοῖς ἄρχουσι καὶ ὅλως ὅταν ἀλήθεια ἐστὶ ἀρετῇ, προσγένηται φορόν ἐστι πνεῦμα καὶ βέβαιον ἐπὶ τὴν πολιτείαν.

σκό-

*Vaticiniū ciuibus inutile erat, quòd fides vati derogabatur: (voluit enim, inquit, Deus me fari incredita: & à suum iam nactis infortuniū, Sapiēs vocor, furere cùm dicerer antea) sic ciuium erga Archytam fides, & in Battum beneuolentia, ob existimationem eorum plurimū cōduxit his, qui opera ipsorum uterentur. Atq; hæc primus est & maximus ciuilium Virorū existimationis vsus: quòd authoritas ijs aditū ad res gerendas conficit. 12. Altera est, quòd multitudinis beneuolētia aduersus inuidos ac malignos teli instar est bonis viris: Vt cùm filioli, somno*

*sua*

σκόπει δέ τὴν ἐναντίαν καταμανθάνων διάθεσιν ἐν τοῖς παραδείγμασι. Τοὺς μὲν γὰρ διονυσίου παῖδας καὶ τὴν γυναῖκα καταπορνεύσαντες οἱ περὶ τὴν ἰταλίαν ἀνεῖλον. εἶτα καύσαντες τὰ σώματα, τὴν τέφραν κατέσπειραν ἐκ πλοίου κατὰ τῆς θαλάττης. μενάνδρου δέ τινος ἐν βάκτροις ἐπιεικῶς βασιλεύσαντος. εἶτα ἀποθανόντος ἐπὶ στρατοπέδου, τὴν μὲν ἄλλην ἐποιήσαντο κηδείαν κατὰ τὸ κοινὸν αἱ πόλεις. περὶ δὲ τῶν λειψάνων αὐτοῦ καταστάντες εἰς ἀγῶνα, μόλις συνέβησαν ὥστε νειμάμενοι μέρος ἴσον τῆς τέφρας ἀπελθεῖν, καὶ γενέσθαι μνημεῖα παρὰ πᾶσι τοῦ ἀνδρός, αὖθις ἀκραγαντῖνοι μὲν ἀπαλλαγέντες Φαλά-

*sua membra soluti, Acute mordacem pellit matercula muscam inuidiam arcens. 13. Et æqualem superioribus potentia reddens ignobilē patricijs, pauperē diuitibus, & priuatum magistratibus. 14. Deniq; accedētibus Veritate & Virtute, existimatio secundus est ad Reipub. administrationē tendentibus uentus. 15. Iam contrariam affectionem consideratis exemplis perpende. Dionysij liberos & uxorem, libidinosè corporibus tractatis Itali necauerūt; ac, crematis cadaueribus, cinerem è naui in mare disperserunt. At Menandri cuiusdam, qui apud Bactra regnū mode-*

λάριδος, ἐψηφίσαντο μηδένα φορεῖν ἱμάτιον γλαύκινον, οἱ γὰρ ὑπηρέται τοῦ τυράννου γλαυκίνοις ἐχρῶντο περιζώμασι. πέρσαι δ' ὅτι γρυπὸς ἦν κῦρος, ἔτι καὶ νῦν ἐρῶσι τῶν γρυπῶν, καὶ καλλίστους ὑπολαμβάνουσιν. οὕτως ἁπάντων ἐρώτων ἰσχυρότατος ἅμα καὶ θειότατός ἐστιν, ὁ πόλεσι καὶ δήμοις πρὸς ἕνα δι' ἀρετὴν ἐγγινόμενος. αἱ δ' ἀπὸ θεάτρων ἢ νεμήσεων ἢ μονομάχων ψευδώνυμοι τιμαὶ καὶ ψευδομάρτυρες ἑταιρικαῖς ἐοίκασι, κολακείαις ὄχλων ἀεὶ τῷ διδόντι καὶ χαριζομένῳ προσμειδιώντων ἐφήμερόν τινα καὶ ἀβέβαιον δόξαν. εὖ μὲν οὖν ὁ πρῶτος εἰπὼν καταλυθῆναι δῆμον

*moderatè gesserat, in castris mortui, ciuitates funus cùm pro consuetudine procurasset, de reliquijs in certamē peruenerūt, ægreq; pax hac cōditione coijt, vt singulæ, parte cinerū ablata æquali, monimentum ei Viro apud se quæq; poneret. Rursus Agrigentini Phalaride exonerati, decreto sanxerūt, ne quis glauca veste vteretur: quia tyranni glaucis subligaculis fuisset vsi. At Persæ quia Cyrus adunco fuisset naso, etiamnum tales amāt, ac pro formosissimis habent. Adeò omnium amorum cùm validissimus est tum diuinissimus is quem ciuitates & populi erga vnū ali-*

μον ὑπὸ τοῦ πρώτου δεκάσαντος, συνεῖδεν ὅτι τὴν ἰσχὺν ἀποβάλλουσιν οἱ πολλοὶ, τοῦ λαμβάνειν ἥττονες γενόμενοι. δεῖ δὲ καὶ τοὺς δεκάζοντας οἴεσθαι καταλύειν ἑαυτοὺς, ὅταν ἀναλωμάτων μεγάλων ὠνούμενοι τὴν δόξαν, ἰσχυροὺς ποιῶσι καὶ θρασεῖς τοὺς πολλοὺς, ὡς μέγα τι καὶ ἀφελέσθαι καὶ δοῦναι κυρίους ὄντας.

*aliquem, ob Virtutem eius cōcipiunt. 16. Falsò autē sic dicti honores, ac falsa testimonia, quæ propter spectacula, diribitiones ac ludos gladiatorios deferūtur à multitudine, similes sunt meretriciarum adulationū; plebe subinde ei qui dat ac gratificatur aliquid arridente, uniusq; diei & instabilem gloriolā blandiendo tribuente. Equidem rectè dixit, quicunq; tandem dicti eius est author, populū ab eo primùm fuisse eneruatū, qui eum largitione inescasset primus. intellexit enim multitudinē robur suum amittere, dum accipiēdo fit imbecillior. Sed & hoc sentiendum est, largitores istos suam quoq; ipsorum vim euertere, quando gloriā magnis impensis mercati, validam ac ferocem reddunt plebē, quæ se magni alicuius, & dandi, & adimēdi potestate præditam existimat.*

PRAE-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-147150-p0163-4

# PRÆCEPTVM XXII.

*De vitanda Auaritia in largitionibus, secundum leges, & facultates instituendis. 1. Siquidem ingratus & inuisus populo diues auarus ac qui de suo nihil largitur: vt contra acceptum eundem reddunt largitiones rectè &, conditionibus certis obseruatis, adhibitæ. 2. Si fuerint gratuitæ. 3. Occasione fiant honestâ & pium aliquem prætextum habente. 4. Non scurrilitatem, aut intemperantiam aliquam ciuium in animis excitent ac foueant. 5. Referantur ad finem honestum ac necessarium; aut voluptatem ac gratiam nulla cum petulantia perniciesue coniunctam. 6. In his ratio facultatum habeatur: ita quidem, vt non occultata paupertate, ditioribus illæ relinquantur. Quod 7. secus qui faciunt, simul & ridiculi, & miserabiles fiunt: cùm rei nummariæ laborantes difficultate, minimè ignorentur: sint, vel amicis molesti, vel feneratorum adulatores & serui: malè audiant ac contemnantur: non habeantur in honore, aut potentes euadant. 8. Melius Lamachus, Phocio, Hermo Thessalus hac sibi in parte prospexerint; cùm egestatem sunt suã confeßi. 9. Quandoquidem contentio ac comparatio in alijs institui cum ditioribus potest, quibus & laus, & gratia parari vera, constans, diuturna solet.*

Οὐ μὴν διὰ τοῦτο μικρολογητέον ἐν τοῖς νενομισμένοις Φιλοτιμήμασι, τῶν πραγμάτων εὐπορίαν παρεχόντων, ὡς μᾶλλον οἱ πολλοὶ μὴ μεταδιδόντα τῶν ἰδίων πλούσιον, ἢ πένητα τῶν δημοσίων κλέπτοντα δὶ ἔχθρας ἔχουσι, ὑπερ-

*Neq; tamen interea sordidè agendum est in largitionibus secundum leges faciũdis, vbi copia rerũ suppeditat: Etenim vulgo magis inuisus est diues de suo nihil largiens, quàm pauper publica depeculans: hoc enim necessitatis*

οψίαν τοῦτο καὶ περιφρό-
νησιν αὐτῶν, ἐκεῖνο δ᾽
ἀνάγκην ἡγούμενοι. γι-
γνέσθωσαν οὖν αἱ με-
ταδόσεις πρῶτον μὲν
ἀντὶ μηδενός. οὕτω γὰρ
ἐκπλήττουσι καὶ χειροῦν-
ται μᾶλλον τοὺς λαμ-
βάνοντας, ἔπειτα σὺν
καιρῷ πρόφασιν ἀστεί-
αν καὶ καλὴν ἔχοντι,
μετὰ τιμῆς θεοῦ πάντως
ἀγούσης πρὸς εὐσέβει-
αν. ἐγγίνεται γὰρ ἅμα
τοῖς πολλοῖς ἰσχυρὰ
διάθεσις καὶ δόξα, τοῦ
τὸ δαιμόνιον εἶναι μέγα
καὶ σεμνόν, ὅταν οὓς αὐ-
τοὶ τιμῶσι καὶ μεγά-
λους νομίζωσιν, οὕτως
ἀφειδῶς καὶ προθύμως
περὶ τὸ θεῖον ὁρῶσι φι-
λοτιμουμένους. ὥσπερ οὖν
ὁ Πλάτων ἀφεῖλε τῶν
παιδευομένων νέων τὴν
ἁρμονίαν τὴν Λύδιον καὶ
τὴν

*tati, illud superbiæ &
contemptui sui impu-
tant. 2. Primùm ergo
largitiones gratuitæ
sint. Sic enim eos qui
accipiunt facilius per-
mouẽt atq; deuinciũt.
3. Deinde per occasionẽ
fiant, quæ prætextum
habeat elegantem atq;
honestum, coniunctũ
cum cultu DEI omni-
no ad pietatẽ ducente.
Sic enim simul in ani-
mis multorum excita-
tur & cõfirmatur opi-
nio, numẽ esse magum
aliquid ac venerandũ:
cum, quos ipsi colũt ac
in magnis Viris cen-
sent, eos ita liberaliter
atq; alacriter sumptus
in venerationem deo-
rum facere cernunt. 4.
Quo igitur pacto ab
adolescentibus qui li-*

L beral

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-147150-p0165-5

τὸ Φρύγιον, τὸ μὲν τὸ θρηνῶδες καὶ φιλοπενθὲς ἡμῶν ἐγείρουσαν τῆς ψυχῆς, τὸ δὲ τὸ πρὸς ἡδονὰς ὀλισθηρὸν καὶ ἀκόλαστον αὔξουσαν, οὕτω σὺ τῶν φιλοτιμιῶν, ὅσαι τὸ φονικὸν καὶ θηριῶδες ἢ τὸ βωμολόχον καὶ ἀκόλαστον ἐρεθίζουσι καὶ τρέφουσι, μάλιστα μὲν ἐξέλαυνε τῆς πόλεως, εἰ δὲ μή, φεῦγε καὶ διαμάχου τοῖς πολλοῖς αἰτουμένοις τὰ τοιαῦτα θεάματα. χρηστὰς δὲ καὶ σώφρονας ἀεὶ ποιοῦ τῶν ἀναλωμάτων ὑποθέσεις, τὸ καλὸν ἢ τὸ ἀναγκαῖον ἐχούσας τέλος, ἢ τὸ γοῦν ἡδὺ καὶ κεχαρισμένον ἄνευ βλάβης καὶ ὕβρεως προσούσης. ἂν δὲ ἢ τὰ τῆς οὐσίας μέτρια, καὶ κέντρῳ καὶ διαστήματι περιγραφόμενα πρὸς τὴν χρείαν, οὔτε

ἀγεν-

*berali instituerentur doctrina prohibuit Plato Lydiam & Phrygiam harmoniā: quòd altera animi facultatē ad lugendū & dolendū procliuū excitaret, altera propensam ad voluptatem & libidines partem impelleret: sic tu eas largitiones, quæ belluinum & trucem, aut scurrilem seu intēperantem motum animorum efficiunt atq; fouēt, omnino ex ciuitate profliga: sin verò, fuge & repugna multitudini huiusmodi spectacula deposcenti.* 5. *bona autem semper & modesta sumptuū argumēta factito, quæ ad finē honestum aut necessarium spectet, aut eam saltem voluptatē*

*ac gra-*

ἀγεννὲς οὔτε ταπεινὸν οὐδέν ἐστι, πενίαν ὁμολογοῦντα τῶν ἐχόντων ἐξίστασθαι φιλοτιμίαις, καὶ μὴ δανειζόμενον οἰκτρὸν ἅμα καὶ καταγέλαστον εἶναι περὶ τὰς λειτουργίας. οὐ γὰρ λανθάνουσιν ἐξασθενοῦντες, ἢ φίλοις ἐνοχλοῦντες ἢ θωπεύοντες δανειστὰς, ὥς τε μὴ δόξαν αὐτοῖς μὴ δ᾽ ἰσχὺν, ἀλλὰ μᾶλλον αἰσχύνην καὶ καταφρόνησιν ἀπὸ τῶν τοιούτων ἀναλωμάτων ὑπάρχειν. διὸ χρήσιμον ἀεὶ πρὸς τὰ τοιαῦτα μεμνῆσθαι τοῦ λαμάχου καὶ τοῦ Φωκίωνος. οὗτος μὲν γὰρ ἀξιούντων αὐτὸν ἐν θυσίᾳ τῶν ἀθηναίων ἐπιδοῦναι, καὶ κροτούντων πολλάκις, αἰσχυνοίμην ἂν εἶπεν, ὑμῖν μὲν ἐπιδοὺς, καλλικλεῖ δὲ τού-

*ac gratiā, à qua damnū ac petulantia absit. 6. Quod si facultates sint mediocres, & ad usus vitæ, quasi circino circumscriptæ, nequaquā indecorū est, neq; abiecti animi cōfessum suam paupertatem eorum, quibus res est, liberalitati locum concedere. 7. neq; in publicis actionibus simul, & miserabilem fieri, & ridiculū. Non enim ignorantur qui destituuntur, &, vel amicis sunt molesti, vel feneratores demerentur adulando, Ut planè huiusmodi impēsis, nō gloriā aut potentiam, sed dedecus potiùs, & cōtemptum sibi parent. 8. Itaq; utile semper est in tali re exem-*

τῷ μὴ ἀποδιδοὺς, δείξας τὸν δανειστὴν λάμαχος ἐν τοῖς τῆς στρατηγίας ἀεὶ προσέγραψεν ἀπολογισμοῖς, ἀργύριον εἰς κρηπῖδας αὐτῷ καὶ ἱμάτιον. ἕρμωνι δὲ θετταλοὶ φεύγοντι τὴν ἀρχὴν ὑπὸ πενίας, ἐψηφίσαντο λάγυνον οἴνου κατὰ μῆνα διδόναι, μέδιμνον ἀλφίτων ἀφ' ἑκάστης τετράδος. οὕτως οὔτε ἀγεννές ἐστι πενίαν ὁμολογεῖν, οὔτε λείπονται πρὸς δύναμιν ἐν πόλεσι τῶν ἑστιώντων καὶ χορηγούντων οἱ πένητες, ἂν παρρησίαν ἀπ' ἀρετῆς καὶ πίστιν ἔχωσι. δεῖ δὴ μάλιστα κρατεῖν ἑαυτῶν ἐν τοῖς τοιούτοις, καὶ μήτε εἰς πεδία καταβαίνειν πεζὸν ἱππεῦσι μαχούμενον, μήτε στάδια καὶ θυμέ-

λας

exemplorum Lamachi ac Phocionis meminisse. quorū hic in sacrificio quodam poscentibus Atheniensibus aliquid vt contribueret, sæpiusq; plausum dantibus, At verò, inquit, pudeat me vobis dare, & huic Callicli (simul feneratorem cui debebat ostendens) nō reddere. 8. At Lamachus, in præturæ suæ militaris rationibus semper adscripsit argentum quod pro se in calceos & vestem impēdisset. Hermoni quoq; Thessalo magistratus administrationē paupertatis causa detrectāti, populares in mensem decreuerunt lagenam vini, & modiū farinæ in singula quatridua.

Ita

λας ἢ τραπέζας πένητα πλουσίοις ὑπὲρ δόξης καὶ δυναστείας διαγωνιζόμενον, ἀλλ' ἀπ' ἀρετῆς καὶ φρονήματος ἀεὶ μετὰ λόγου πειρωμένοις ἄγειν τὴν πόλιν, οἷς οὐ μόνον τὸ καλὸν καὶ τὸ σεμνὸν, ἀλλὰ καὶ τὸ κεχαρισμένον καὶ ἀγωγὸν ἔνεστι, κροισίων ἐρατώτερον στατήρων. Οὐ γὰρ αὐθάδης οὐδ' ἐπαχθὴς ὁ χρηστὸς οὐδὲ αὐθέκαστος ἐστιν ὁ σώφρων ἀνὴρ καὶ στείχει πολίταις ὄμμ' ἔχων ἰδεῖν πικρόν. ἀλλὰ πρῶτον μὲν εὐπροσήγορος καὶ κοινὸς ὢν πελάσαι καὶ προσελθεῖν ἅπασιν οἰκίαν τε παρέχων ἄκλειστον, ὡς λιμένα φύξιμον ἀεὶ τοῖς χρῄζουσι, καὶ τὸ κηδεμονικὸν καὶ φιλάνθρωπον οὐ χρείαις οὐδὲ πράξεσι μόνον,

*Itaneq; seruile est paupertatem suam præ se ferre, neq; in ciuitatibus posteriores cœnas & ludos exhibentibus habentur pauperes, si sua sibi virtute libertatem dicendi fidemq; parauerint. Sanè oportet quàm maximè in talibus rebus se ipsum continere, vt ne pedester in campum descẽdat contra equitẽ pugnaturus: hoc est, ne pauper, gloriæ potẽtiæue causa cum diuitibus de stadijs, scenæ apparatu, aut epulis in contentionem sese det. 9. Sed vt conetur ijs se æquare, qui Virtute, prudẽtia, ac facundia Vrbem volunt temperare. Quibus rebus nõ modò honestas atq;*

ἀλλὰ καὶ τῷ συναλγεῖν πταίουσι καὶ κατορθοῦσι συγχαίρειν ἐπιδεικνύμενος, οὐδαμῆ δὲ λυπηρὸς οὐδ᾽ ἐνοχλῶν οἰκετῶν πλήθει περὶ λουτρὸν, ἢ καταλήψεσι τόπων ἐν θεάτροις, οὐδὲ τοῖς εἰς τρυφὴν καὶ πολυτέλειαν ἐπιφθόνοις παράσημος, ἀλλ᾽ ἴσος καὶ ὁμαλὸς ἐσθῆτι καὶ διαίτῃ καὶ τροφαῖς παίδων, καὶ θεραπείᾳ γυναικὸς, οἷον ὁμοδημεῖν καὶ συνανθρωπεῖν τοῖς πολλοῖς βουλόμενος. ἔπειτα σύμβουλον εὔνουν καὶ συνήγορον ἄμισθον καὶ διαλλακτὴν εὐμενῆ πρὸς γυναῖκας ἀνδρῶν, καὶ φίλων πρὸς ἀλλήλους παρέχων ἑαυτὸν, οὐ μικρὸν ἡμέρας μέρος ἐπὶ τοῦ βήματος ἢ τοῦ λογείου πολιτευόμενος, ἢ τὰ μὴ

πα-

*maiestas, sed gratia etiam adest, & ad pelliciendum vis, Crœsi optabilior stateribus. Vir enim bonus nō insolēs neq; moleste odiosus est; neq; vir modestus sua tantū probās, incedit inuiso omnibus ore ciuibus: sed primùm facilem se compellatu præbet omnibus, neminemq; nō admittit ad suum colloquium, domum suam tanquam portum perfugij identidem omnibus habens apertam: suamq; humanitatem & pro ciuibus procurationem, non operā nauando tantùm & agēdo, sed & aduersa patientibus socium se doloris exhibēdo, & gratulādo ijs qui successi-*

*bus*

παρὰ τῶν ἄλλων. εἶτα ἤδη πάντα τὸν ἄλλον βίον ἕλκων ἐφ' ἑαυτὸν ὥσπερ καὶ κίας νέφη τὰς χρείας καὶ τὰς οἰκονομίας πανταχόθεν, ἀλλὰ δημοσιεύων ἀεὶ ταῖς φροντίσι καὶ τὴν πολιτείαν, βίον καὶ πρᾶξιν οὐκ ἀσχολίαν, ὥσπερ οἱ πολλοὶ καὶ λειτουργίαν ἡγούμενος, πᾶσι τούτοις καὶ τοῖς τοιούτοις ἐπιστρέφει καὶ προσάγεται τοὺς πολλούς, νόθα καὶ κίβδηλα τὰ τῶν ἄλλων θωπεύματα καὶ δελεάσματα πρὸς τὴν τούτου κηδεμονίαν καὶ φρόνησιν ὁρῶντας. οἱ μὲν γὰρ Δημητρίου κόλακες οὐκ ἠξίουν βασιλεῖς τοὺς ἄλλους προσαγορεύειν. ἀλλὰ τὸν μὲν Σέλευκον, ἐλεφαντάρχην. τὸν δὲ Λυσίμαχον, γαζοφύλακα. τὸν δὲ Πτολεμαῖον, ναύαρχον ἐκάλουν.

*bus vtuntur bonis demonstrat. Neq; vspiã molestus est multitudine famulorũ in balneo, aut occupatione locorũ in theatro, neq; ijs insignis quæ inuidiæ ob luxum & sumptuum magnitudinẽ sũt obnoxia: sed æqualis vestitu ac victus ratione & liberorum educatione ac muliebri familia reliquis; vt qui simul cum alijs vnam eandemq; popularem tenere rationẽ, vtq; alij homines degere velit. Deinde consiliariũ se & aduocatũ nulla mercede conductum, benignumq; arbitrum præstat virorũ vxoribus reconciliandorum, amicorũq; in gratiam reponendorũ.*

τὸν δὲ ἀγαθοκλέα, νησιάρχην. Οἱ δὲ πολλοί, κἂν ἐν ἀρχῇ τὸν ἀγαθὸν καὶ φρόνιμον ἀπορρίψωσιν, ὕστερον καταμανθάνοντες αὐτοῦ τὴν ἀλήθειαν καὶ τὸ ἦθος, τοῦτον ἡγοῦνται μόνον πολιτικὸν καὶ δημοτικὸν καὶ ἄρχοντα, τῶν δὲ ἄλλων τὸν μὲν χορηγόν, τὸν δὲ ἑστιάτορα, τὸ δὲ γυμνασίαρχον, καὶ νομίζουσι καὶ καλοῦσιν. Εἶτα ὥσπερ ἐν τοῖς συμποσίοις καλλίου δαπανῶντος ἢ ἀλκιβιάδου, σωκράτης ἀκούεται, καὶ πρὸς σωκράτην πάντες ἀποβλέπουσιν, οὕτως ἐν ταῖς ὑγιαινούσαις πόλεσιν ἰσμηνίας μὲν ἐπιδίδωσι, καὶ δειπνίζει λίχας, καὶ χορηγεῖ νικήρατος. ἐπαμινώνδας δὲ καὶ ἀρι-

στεί-

*neq; ita aliquam diei partem tribunali aut concioni dans Rempub. tractat, vt nõ reliquo vitæ tempore, veluti Cæcias nubes, ad se itidẽ attrahat vndiquaq; vsus ciuium & procurationes: sed curis sẽper suis publico est intentus, & Reipub. administrationem vitã sibi opusque, non ociũ aut munus publicũ (vt faciunt multi) deputans; his omnibus eorùmq; similibus in se conuertit sibiq; conciliat multitudinẽ: quæ aliorũ adulationes & illecebras cum huius procuratione & prouidẽtia comparatas animaduertat adulterina esse & fucata irritamẽta. Etenim Deme-*

*trij*

στείδης, καὶ λύσανδρος, καὶ ἄρχουσι καὶ πολιτεύονται καὶ στρατηγοῦσι. πρὸς ἃ χρὴ βλέποντα μὴ ταπεινοῦσθαι, μηδὲ ἐκπεπλῆχθαι τὴν ἐκ θεάτρων καὶ ὀπλανείων καὶ πολυανδρίων προσισταμένην τοῖς ὄχλοις δόξαν, ὡς ὀλίγον χρόνον ἐπιζῶσαν καὶ τοῖς μονομάχοις καὶ ταῖς σκηναῖς ὁμοῦ συνδιαλυομένην, ἔντιμον δὲ μηδὲν μηδὲ σεμνὸν ἔχουσαν.

*trij adulatores reliquos non dignabantur nomine regis, sed Seleucum elephantorum magistrũ, Lysimachũ gazæ custodem, Ptolemæũ classis præfectũ, Agathoclẽ insulæ præsidem appellabant. At multitudo, etiãsi initiò bonum ac prudentẽ virum reijciat, tamen postea tẽporis eius deprehẽdens veritatẽ atq; ingenium, hunc solum iudicat ciuilem, popularem, atq; principem esse: reliquos, alium choragum, alium epuli præbitorem, alium gymnasiarcham, & putant, & nominant. Ad hæc, sicuti in cõuiuijs Gallia rege, aut Alcibiade Socrates tamen auditur, in eumq; sunt omnium oculi cõuersi: sic in rectè habẽtibus rebus publicis sumptus facit Ismenias, & Lichas cœnas præbet; chorum instruit Niceratus: Epaminondas autem, & Aristida, & Lysander*

*imperant, Rempub. ac bella gerunt. In quæ intuentem conuenit non submittere animum, neq; terreri ea existimatione, quæ plebi ex theatris, cauponis, ac cœtibus hominum frequentibus adest: cum ea perexiguo duret tẽpore, simulq; cum gladiatorijs & scenicis ludis dißipetur, honore aut veneratione dignum habeat nihil.*

## PRÆCEPTVM XXIII.

*De Seditionibus & dißidijs ciuiũ, quæ quouis modo auertenda aut componenda: ita, vt neutri sese quis parti, contra Solonis sententiã adiungat. 1. Quòd istud maximè, populo seditione conturbato, Reip. prodest. 2. Secus si fiat, hæc eadem perit funditus. 3. Neutri se parti qui adiungit, sed medius manet; communis omnibus videtur, nec inuidia vlla laborat. 4. Autor est pacis, libertatis, vbertatis, hominũ copiæ, concordiæ. 5. Et hoc negotio non magno efficit: cõmunicatione quadam iræ & indignationis: laude ac commendatione æquitatis atq; placabilitatis: notatione imbecillitatis rerum, & neceßitate pacis ac concordiæ: rebus & offensis priuatis maturè atq; antè sopitis, quàm publicum propagentur. 6. Quod postremum neglectum sæpe magnorum mutationum ac calamitatum causa est, vt Cratetis apud Delphos, Syracusanorum adolescentum duorum, Pardali exempla docent. 7. Persuadendi verò optima ratio, proprijs in dißidijs placidæ pacificationi studere: iram, contendendi vehementiam, affectus alios asperitatem aliquam excitantes in disceptationibus fugere: nudis purisq; causæ fundamentis rem gerere, non conuicijs & malignitate acuere. 8. Ita enim non minus obtemperant ij, quibus cum nobis controuersia est, atq; publicis de negotijs ortæ contentiones, priuatis simultatibus & inimicitijs depositis plus prodesse, quàm obesse solent.*

Qui

Οἱ μὲν οὖν ἔμπειροι θεραπείας καὶ τροφῆς μελιττῶν, τὸν μάλιστα βομβοῦντα τῶν σίμβλων καὶ θορύβου μεστὸν, τοῦτον εὐθηνεῖν καὶ ὑγιαίνειν νομίζουσιν, ᾧ δὲ τοῦ λογικοῦ καὶ πολιτικοῦ σμήνους ἐπιμέλειαν ἔχειν ὁ θεὸς ἔδωκεν, ἡσυχίᾳ μάλιστα καὶ πραότητι δήμου τεκμαιρόμενος εὐδαιμονίαν, τὰ μὲν ἄλλα τοῦ σόλωνος ἀποδέξεται, καὶ μιμήσεται κατὰ δύναμιν, ἀπορήσει δὲ καὶ θαυμάσει τί παθὼν ἐκεῖνος ὁ ἀνὴρ ἔγραψεν ἄτιμον εἶναι τὸν ἐν στάσει πόλεως μηδετέροις προσθέμενον. Οὔτε γὰρ ἐν σώματι τὸ νοσοῦν γίνεται μεταβολῆς ἀρχὴ πρὸς τὸ ὑγιαίνειν ἀπὸ τῶν συννοσούντων μερῶν, ἀλλ' ὅ-

ταν

*Qui apum curæ atq; educationis periti sũt, eum alueum maximè sanas & feliciter agẽtes apes putant habere, ad quem strepitus est tumultiq; plurimum. At verò is, cui Deus ratione donati ac ciuilis examinis curam imposuit, tranquillitate præcipuè & placiditate populi felicitatem æstimans, Solonis reliqua, & probabit, & pro viribꝰ imitabitur. id tamẽ in dubium vocabit, admirabiturq;, quid in mentẽ illi venerit; vt legem ferret, qua, qui seditione in ciuitate exorta neutri parti se adiunxisset, infamia notatur. 1. Nam neq; in corpore è morbo ad sanitatẽ re-*

*deun*

ὅταν ἡ παρὰ τοῖς ἐρρωμένοις ἰσχύουσα κρᾶσις ἐκστήσῃ τὸ παρὰ φύσιν, ἔν τε δήμῳ στασιάσαντι, μὴ δεινὴν μηδ' ὀλέθριον στάσιν, ἀλλὰ παυομένην, τό τε δεῖ τὸ ἀπαθὲς καὶ τὸ ὑγιαῖνον ἐγκεκρᾶσθαι πολὺ, καὶ παραμένειν καὶ συνοικεῖν. Ἐπιρρεῖ γὰρ τούτῳ οἰκεῖον ἐκ τῶν σωφρονούντων, καὶ διεισι διὰ τοῦ νενοσηκότος. αἱ δὲ δι' ὅλων ἀναταραχθεῖσαι πόλεις, κομιδῇ διεφθάρησαν. ἂν μή τινος ἀνάγκης ἔξωθεν τυχοῦσαι καὶ κολάσεως ὑπὸ κακῶν βίᾳ σωφρονήσωσιν, οὐ μὴν ἀναίσθητον, οὐδ' ἀνάλγητον ἐν στάσει καθῆσθαι προσήκει, τὴν περὶ αὑτὸν ἀταραξίαν ὑμνοῦντα, καὶ τὸν ἀπράγμονα βίον καὶ μακάριον, ἐν

ἑτε-

*deundi initium sit ab vnà correptis morbo mẽbris, sed tum, cùm rectè valentiũ partiũ temperies præualẽs id quod naturæ repugnabat depellit: & in populo, non atroci neq; exitiosa seditione conturbato, sed quæ componatur, sub eius finem maximè necesse est, vt quod incorruptum ac sanum mansit, multùm contẽperetur, adsit, atq; vnâ habitet. Ad hoc enim confluit quidquid sanorũ hominum est idem sentiens, eorumq; vis etiã per eos diffunditur qui vitiati fuerant. 2. At ciuitates in vniuersũ seditionibus cõturbatæ, funditus perierũt, nisi aliqua foris ingruente*

*ente,*

ἑτέροις ἐπιτρεπόμενον ἀγνωμονοῦσιν. ἀλλ᾽ ἐνταῦθα δεῖ μάλιστα τὸν θηραμένους κόθορνον ὑποδούμενον, ἀμφοτέροις ὁμιλεῖν, καὶ μηδετέροις προστίθεσθαι, δόξεις γὰρ οὐχὶ τῷ μὴ συναδικεῖν ἀλλότριος, ἀλλὰ τῷ βοηθεῖν κοινὸς εἶναι πάντων. καὶ τὸ μὴ συνατυχεῖν, οὐχ ἕξει φθόνον ἂν πᾶσι φαίνῃ συναλγῶν ὁμοίως. κράτιστον δὲ προνοεῖν, ὅπως μηδέποτε στασιάζωσι, καὶ τοῦτο τῆς πολιτικῆς, ὥσπερ τέχνης, μέγιστον ἡγεῖσθαι καὶ κάλλιστον. ὅρα γὰρ ὅτι τῶν μεγίστων ἀγαθῶν ταῖς πόλεσιν, εἰρήνης, ἐλευθερίας, εὐετηρίας, εὐανδρίας, ὁμονοίας. πρὸς μὲν εἰρήνην οὐδὲν οἱ δῆμοι τῶν πολιτικῶν ἔν γε τῷ παρόντι

*ente neceßitate, malisq́; castigatæ ut ad sanitatem redigerẽtur. Neq́; verò decet in seditione nullo mali sensu, nullo dolore perculsum sedere, ac suã perturbationis vacũitatẽ, vitãq́; ociosam & beatã prædicare, interim aliorum erroribus delectari. Sed hîc maximè Theramenis induendus est cothurnus; itaq́; utraq́; cum parte conferendus sermo, ut neutri te aggreges. 3. Existimaberis enim non eo, quod nullius faciundæ iniuriæ sociũ te geras, alienus à ciuibus, sed, ob auxilij lationẽ, omnibus esse communis: neq́; inuidebitur tibi si nõ venias in partem calamita-*

χρόνῳ δέονται. πέφευγε γὰρ ἐξ ἡμῶν καὶ ἠφάνισται πᾶς μὲν Ἕλλην πᾶς δὲ βάρβαρος πόλεμος. ἐλευθερίας δ' ὅσον κρατοῦντες νέμουσιν τοῖς δήμοις μέτεστι, καὶ τὸ πλέον ἴσως οὐκ ἄμεινον. εὐπορίαν δὲ γῆς ἄφθονον εὐμενῆ τε κρᾶσιν ὡρῶν, καὶ τίκτειν γυναῖκας ἐοικότα τέκνα γονεῦσι, σωτηρίαν τοῖς γεννωμένοις εὐχόμενος ὅγε σώφρων αἰτήσεται παρὰ θεῶν τοῖς αὑτοῦ πολίταις. λείπεται δὴ τῷ πολιτικῷ μόνον ἐκ τῶν ὑποκειμένων ἔργων, ὃ μηδενὸς ἔλαττόν ἐστι τῶν ἀγαθῶν, ὁμόνοιαν ἐμποιεῖν, καὶ φιλίαν πρὸς ἀλλήλους ἀεὶ τοῖς συνοικοῦσιν. ἔριδας δὲ καὶ διχοφροσύνας καὶ δυσμένειαν ἐξαίρειν ἅπασαν

tis, cum videare omnium ex æquo sortem dolere. 4. Est autem præclarissimum, in id operam dare nulla vt vnquã oriatur seditio: idq; artis quasi ciuilis opus maximum est & pulcherrimum existimãdũ. Hoc enim considera, cum maxima quæ ciuitatibus cõtingere possunt bona sint pax, libertas, vbertas, hominum copia, & concordia: ad pacẽ quidẽ in præsẽtia nihil est quod operam ciuilium Virorum requirãt populi, omni & Græcanico & barbarico bello penitus sublato. Libertatis quoq; tantum est ciuitatibus, quantum imperatores concedunt: neq; expediret

πᾶσαν, ὥσπερ ἐν φίλων διαφοραῖς τὸν μᾶλλον οἰόμενον ἀδικεῖσθαι μέρος ἐξομιλοῦντα πρότερον, καὶ συναδικεῖσθαι δοκοῦντα καὶ συναγανακτεῖν, εἶτα οὕτως ἐπιχειροῦντα πραΰνειν καὶ διδάσκειν, ὅτι τῶν βιάζεσθαι καὶ νικᾶν ἐριζόντων οἱ παρόντες, οὐκ ἐπιεικείᾳ καὶ ἤθει μόνον, ἀλλὰ καὶ φρονήματι καὶ μεγέθει ψυχῆς διαφέρουσι, καὶ μικρὸν ὑφιέμενοι, νικῶσιν ἐν τοῖς καλλίστοις καὶ μεγίστοις. ἔπειτα καὶ καθένα καὶ κοινῇ διδάσκοντα καὶ φράζοντα τὴν τῶν ἑλληνικῶν πραγμάτων ἀσθένειαν, ἧς ἓν ἀπολαῦσαι ἄμεινόν ἐστι τοῖς εὖ φρονοῦσι, καὶ μεθ' ἡσυχίας καὶ ὁμονοίας καταβιῶναι, μηδὲν ἐν μέσῳ

τῆς

diret fortasse amplius. Tum ea est terræ ubertas ac frugũ copia abũdans, anniq; temporũ constitutio salubris: Nupta facit similiq; virum nunc prole parentem: Vt sani hominis sit, ijs qui nascũtur suis ciuibus salutem à dijs optare. Ergo ex officio ciuilis viri subiectis rebus hoc vnum ei restat, quod nulli alteri bono præstãtia cedit; vt ciues suos cõcordia, mutuaque amicitia inter sese uti doceat; lites, discordias, inimicitiasq; omnes aboleat.

5. Qua in re idẽ aget, quod in amicorum dissensionibus. Cum ea parte, quæ iniuria affici videbitur, ita colloquetur: vt ipse quoq;

parti-

τῆς τύχης ἆθλον ὑπολελοίπασ. τίς γὰρ ἡγεμονία, τίς δόξα τοῖς περιγενομένοις, ποία δύναμις, ἣν μικρὸν ἀνθυπάτου διάταγμα κατέλυσεν ἢ μετέστησεν εἰς ἄλλο. ὅθεν οὐδ᾽ ἂν παραμένῃ σπουδῆς ἄξιον ἔχουσαν. ἐπεὶ δὲ ὥσπερ ἐμπρησμὸς οὐ πολλάκις ἐκ τόπων ἱερῶν ἄρχεται καὶ δημοσίων, ἀλλὰ λύχνος τις ἐν οἰκίᾳ παραμεληθεὶς, ἢ συρφετὸς διακαεὶς ἀνῆκε φλόγα πολλὴν, καὶ δημοσίαν φθορὰν ἀπεργάζεται, οὕτως οὐκ ἀεὶ στάσιν πόλεως αἱ περὶ τὰ κοινὰ φιλονεικίαι διακαίουσιν. ἀλλὰ πολλάκις ἐκ πραγμάτων καὶ προσκρουσμάτων ἰδίων εἰς δημόσιον αἱ διαφοραὶ προελθοῦσαι, συνετά-

particeps iniuriæ acceptæ indignationisq; videatur. Deinde animum placare eius conabitur, ac docere eos qui iniurias dimittũt quibus sunt affecti, his qui cõtendere & vincere litigando instituerunt, non æquitate modò & placiditate, sed & animi magnitudine potiores esse: & cùm de suo iure paulum remiserint, in pulcherrimis maximisq; rebus victoriam reportare. Pòst & singulos & vniuersos de imbecillitate rerum Græcarum edocebit, quâ perfrui cordatus quisq; satius arbitretur, & in pace ac concordia inter suos vita defungi, quam certa-

ἔρραξαν ἅπασαν τὴν πόλιν. Οὐδενὸς ἧττον τῷ πολιτικῷ προσήκει ταῦτα ἰᾶσθαι καὶ προκαταλαμβάνειν. ὅπως τὰ μὲν οὐδὲ ὅλως ἔσαι, τὰ δὲ παύσεται ταχέως, τὰ δὲ οὐ λήψεται μέγεθος, οὐδὲ ἅψεται τῶν δημοσίων, ἀλλ᾽ ἐν αὐτοῖς μενεῖ τοῖς διαφερομένοις, αὐτόν τε προσέχοντα καὶ φράζοντα τοῖς ἄλλοις ὡς ἴδια κοινῶν μικρὰ μεγάλων αἴτια καθίσταται παροφθέντα καὶ μὴ τυχόντα θεραπείας ἐν ἀρχῇ, μηδὲ παρηγορίας. οἷον ἐν Δελφοῖς ὁ μέγιστος λέγεται γενέσθαι νεωτερισμὸς ὑπὸ Κράτητος, οὗ μέλλων θυγατέρα γαμεῖν Ὀργίλαος ὁ Φάλιδος. εἶτα τοῦ κρατῆρος αὐτομάτως ἐπὶ

men, cuius nullum fortuna præmium fecerit reliquum, obire. Quis enim principatus, quæ gloria victorem, quæ manet potentia, quam non leue aliquod proconsulis edictum vel abolere poßit, vel aliò transferre? nihil studio dignum habiturā, ne si quidē perduraret. Quoniā autem, sicuti incendium non sæpè à sacris & publicis exoritur locis, sed plerūq; neglecta in domo aliqua lucerna, aut inflāmatæ quisquiliæ ingētem ediderunt ignem, ac publicam perniciē: sic nō semper seditionē cōtentiones de publicis negotijs excitant, sed sæpenumerò ex rebus & offensis priuatis in publi-

τῶν σπονδαῖς μέσου ῥαγέντος, οἰωνισάμενος καὶ ἐξαλιπὼν τὴν νύμφην, ἀπῆλθε μετὰ τοῦ πατρός. ὁ δὲ κράτης ὀλίγον ὕστερον, θύουσιν αὐτοῖς ὑποβαλὼν χρυσίον τι τῶν ἱερῶν, ἐξεκρήμνισε τὸν ὀργίλαον, καὶ τὸν ἀδελφὸν ἀκρίτους καὶ, πάλιν τῶν φίλων τινὰς οἰκείων ἱκετεύοντας ἐν τῷ ἱερῷ τῆς προνοίας ἀνεῖλε. πολλῶν δὲ τοιούτων γενομένων ἀποκτείναντες οἱ ἀδελφοὶ τὸν κράτητα καὶ τοὺς στασιάσαντας ἐκ τῶν χρημάτων ἐναγικῶν προσαγορευθέντων, τοὺς κάτω ναοὺς ἐνῳκοδόμησαν. ἐν δὲ συρακούσαις δυοῖν νεανίσκων συνήθων. ὁ μὲν τὸν ἐρώμενον τοῦ ἑταίρου λαβὼν φυλάσσειν, δι-

publicũ propagatæ lites totã exagitant ciuitatem: ciuili viro in hoc non minor, quàm vlla in aliare, ponenda est industria, vt his occurrat medeaturq́ue, vt aliæ quidẽ lites omnino ne existant quidẽ, aliæ mox sopiãtur, aliæ non faciant incremẽtum, neq; ad Rempub. pertingant; sed penes ipsos maneant aduersarios Et, cum ipse animum debet his rebus attendere, tum alios docere, priuata publicis, parua magnis causam præbere si neglігantur, neq; ab initio ijs medicina & correctio adhibeatur. 6. Quo quidẽ modo Crates apud Delphos maximam periculosæ rerum

διέφθειρεν ἀποδημοῦντος. ὁ δὲ ἐκείνῳ πάλιν ὥσπερ ἀνταποδιδοὺς ὕβριν, ἐμοίχευσε τὴν γυναῖκα. τῶν δὲ πρεσβυτέρων τις εἰς βουλὴν παρελθὼν, ἐκέλευσεν ἀμφοτέρους ἐλαύνειν πρὶν ἀπολέσαι καὶ ἀναπληθῆναι τὴν πόλιν ἀπ' αὐτῶν τῆς ἔχθρας, οὐ μὴν ἔπεισεν, ἀλλὰ ἐκ τούτου στασιάσαντες, ἐπὶ συμφοραῖς μεγάλαις τὴν ἀρίστην πολιτείαν ἀνέτρεψαν. ἔχεις δὲ δή που καὶ αὐτὸς οἰκεῖα παραδείγματα τὴν παρδάλου πρὸς τυρρηνὸν ἔχθραν, ὡς ὀλίγου ἐδέησεν ἀνελεῖν τὰς σάρδεις ἐξ αἰτιῶν μικρῶν καὶ ἰδίων εἰς ἀπόστασιν καὶ πόλεμον ἐμβαλοῦσα. διὸ χρὴ μὴ καταφρονεῖν τῶν πολιτικῶν, ὥσπερ ἐν

σώ-

*rum mutationi occasionem suppeditauit. Erat filiam huius ducturus uxorem Orgilaus Phalidis F: cùmq; in ipsis spōsalibus cratera media crepuisset, eo casu in omen tracto, derelicta sponsa cum patre discesserat. His paulò post sacrificantibus vas aureum eorū, quæ sacra sunt subdidit, indictaq; causa Orgilaum cum fratre de saxo præcipitauit: rursùmq; amicorū familiarium quosdam supplicantes in fano Prouidentiæ interfecit. Cum multa talia eſſet perpetrata, Delphi Cratetem & seditionis socios necauerunt, & è pecunijs, quas nefastas appellabant, tēpla exædifi-*

σώματι προσκρουσμάτων διαδρομὰς ὀξείας ἐχόντων, ἀλλὰ ἐπιλαμβάνεσθαι καὶ πιέζειν καὶ βοηθεῖν. προσοχῇ γὰρ ὥς φησιν ὁ Κάτων καὶ τὸ μέγα γίνεται μικρὸν καὶ τὸ μικρὸν εἰς τὸ μηθὲν ἄγεται. μηχανὴ δὲ ἐπὶ ταῦτα πειθοῦς οὐκ ἔστι μείζων, ἢ τὸ παρέχειν ἑαυτὸν ἐν ταῖς ἰδίαις διαφοραῖς ἥμερον διαλλακτὴν, ἀμνήτιτον ἐπὶ τῶν πρώτων αἰτιῶν μένοντα, καὶ μηδενὶ προστιθέντα φιλονεικίαν μὴ δ' ὀργὴν, μὴ δ' ἄλλο πάθος ἐμποιοῦν τραχύτητα καὶ πικρίαν τοῖς ἀναγκαίοις ἀμφισβητήμασι. Τῶν μὲν γὰρ ἐν ταῖς παλαίστραις διαμαχομένων ἐπὶ σφαίροις περιδέουσι τὰς χεῖρας, ὅπως εἰς ἀνήκεστον

ἡ

*dificarunt inferiora. Syracusis de duobus familiaribus adolescẽtibus, alter amasium alterius suæ custodiæ à peregrè proficiscente creditum absente illo vitiauit: reuersus, vt vicẽ rependeret, adulterauit alterius vxorẽ. Tum quidã seniorum in conciliũ progressus, consuluit esse vtrumq; eyciendum; priùs quã suis inimicitijs Vrbem corrumpentes exitio essent. Neq; tamen is persuasit, sed orta ex hac occasione seditio, maximis cum calamitatibus optimam Reipub. formam pessundedit. Habes nimirũ & ipse domestica exẽpla: Pardali cum Tyrrheno inimici-*

*mici-*

ἡ ἅμιλλα μηδὲν ἐκπίπτῃ μαλακὴν ἔχουσα τὴν πληγὴν καὶ ἄλυπον, ἐν ταῖς κρίσεσι καὶ ταῖς δίκαις πρὸς τοὺς πολίτας. ἄμεινόν ἐστι καθαραῖς καὶ ψιλαῖς ταῖς αἰτίαις χρώμενον ἀγωνίζεσθαι, καὶ μὴ καθάπερ βέλη τὰ πράγματα χαράσσοντα καὶ φαρμάσσοντα ταῖς βλασφημίαις, καὶ ταῖς κακοηθείαις καὶ ταῖς ἀπειλαῖς, ἀνήκεστα καὶ μεγάλα καὶ δημόσια ποιεῖν. ὁ γὰρ οὕτω προσφερόμενος τοῖς καθ' αὑτὸν, ὑπηκόους ἕξει καὶ τοὺς ἄλλους. αἱ δὲ περὶ τὰ δημόσια φιλοτιμίαι τῶν ἰδίων ὑφαιρουμένων ἀπεχθειῶν, εὐτελεῖς γίνονται, καὶ δυσχερὲς οὐδὲν οὐδὲ ἀνήκεστον ἐπιφέρουσιν.

*micitiam, quæ parum abfuit quin Sardes perderet ab exiguis & priuatis initijs defectione & bello conflatis. Non itaq; sunt negligendæ ciuium veluti vno in corpore offensæ, quæ discursus habēt celeres: sed inijcienda manus, opprimendæq; sunt, & faciēda medicina. Nā (vt ait Cato) attentione, & magna in parua, & parua in nihilū rediguntur. Ad hanc rē non alia maior est persuadēdi efficacior machina quàm se ipsum præstare in proprijs dissidijs placidum pacificatorem, absq; ira in primis causis persistentem, nulliq; adhibentē contēdendi vehementiam, aut iram, aut alium affectum aliquem,*

qui necessariјs disceptationibus asperitatem acerbitatemq; ingerat. Etenim eorum, qui in palæstra decertant, manibus globos quosdam præligāt, ne certamē in plagā aliquā atrociorem & lethalē desinat. At in disceptationibus causarū, & iudicijs præstat nudis purisq; causæ fundamētis rē gerere; neq; res, tanquā iacula acuēdo conuicijsq; malignitate & minis, veluti veneno imbuēdo, extremè perniciosas & in publicū erūpētes dānū redigere. 8. Qui enim, quo dixi modo, eos quibus cum ipsi res est tractat, alios quoq; sibi habebit obtemperantes. At contentiones de publicis negotijs, vbi priuatæ inimicitiæ fuerint detractæ, vtiles fiunt; neq; magnū vllū, aut atrox malum inferunt.

FINIS.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-147150-p0187-7

144878

X 2203869

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-147150-p0189-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-147150-p0190-8

137 ἔστω μέγα κ(αὶ) καλὸν κτῆμα τοῖς τ' ἄλλοις
καὶ ἀνδρὶ δὲ στρατηγῷ τὸ ὅσιόν τε κ(αὶ) τὸ
εἶναί τε κ(αὶ)
ἐγνῶσθαι

# PLVTARCHI CHAERONENSIS REIPVB. GERENDAE PRAECEPTA.

*In vsum Scholarum seorsim, cum versione latina VVILHELMI XYLANDRI, & resolutione breui MELCHIORIS IVNII, Eloquentiæ Argentinensi in Academia Professoris, edita.*




ARGENTORATI,
Excudebat Antonius Bertramus
M. D. XCVIII.